UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Hierakosophion

Demetrius <Pepagomenus>

Lvtetiae, 1612

[Text]

urn:nbn:de:hbz:466:1-12846

Visual Library

# ΟΡΝΕΟΣΟΦΙΟΝ.

## Εἰς ἀναπνοὴν ἱέρακος.

ΦΟΛΒΙΟΥ* βοτάνης, κόστου, σμύρνης ἀρσενικῆς, στάχοις ἰνδικοῦ, κύφεως θηλειακῆς, καρυοφύλλου, σανδαράχης, πυρέθρου, ἐλαίου, χαλβάνι* νετόπου μαστίχης· ἕκαστον ἀνὰ οὐγγ. α΄. βάλε καὶ ἀπόβρεξον αὐτὰ ἐν οἴνῳ παλαιῷ ἡμέρας τρεῖς· μετὰ δὲ τὸ ἀποβραχῆναι, σύντειψον, καὶ δὸς τῷ ἱέρακι· καὶ ἰαθήσεται.

## Ἄλλο.

Εἰ οὖν μὴ εὕρῃς τὰ εἴδη ταῦτα, ποίησον τοῦτο· φακὴν τετριμμένην, δραχμὴν μίαν· μέλι λίτρ. α΄. ἔλαιον ἱσπανικὸν κοχλιάρια ε΄. οἴνου παλαιοῦ τὸ ἀρκοῦν· σελίνου ῥίζαν· κοριάνδρου κεράτια ε΄. πρασίου ῥίζης κεράτ. β΄. κόκκοις δάφνης ε΄. ὁμοῦ πάντα τρίψας, δίδου

τῷ ἱέρακι καθημέραν ὄφας ε΄. μετὰ κρέατος οἱουδήπινος.

### Ἀντίδοτον πρὸς ἀνάπνοιαν ἱέρακος.

ΟΤΑΝ ἴδης τὸν ἱέρακα ἀπὸ τοῦ στήθους ῥέγχοντα, οὕτως αὐτὸν θεραπεύσεις· βοτάνην πολύτειχον, ἥτις γίνεται εἰς τὰς πηγὰς καὶ τοὺς ἀγωγούς, λαβὼν, καθάρισον αὐτὴν, καὶ λάβε ἐξ αὐτῆς ὅσον κέρ. β΄. καὶ γάλα ὄνου κοχλιάρια γ΄. μυελὸν ἐλάφου κέρ. γ΄. βούτυρον· κέρ. α΄. οἴνου παλαιοῦ καλοῦ κοχλιάρια γ΄. ἔλαιον ἰσπανικὸν κοχλιάρια β΄. λευκὸν τοῦ ᾠοῦ· ὁμοῦ πάντα μίξας, οὕτως θρέψον μετὰ κρέατος ζεστοῦ αἰγείου· πρῶτον δὲ εἰς βαλανεῖον αὐτὸν εἰσάγαγε, ἡνίκα ἔστι τρύζων τὸ στῆθος αὐτοῦ.

### Εἰς ἀνάπνοιαν καὶ ἀσίτιον.

ΟΤΑΝ ἴδης τὸν ἱέρακα μετὰ βίας ἀφοδεύοντα, γίνωσκε αὐτὸν ἢ ἀσίτιον ἔχειν, ἢ ἀνάπνευσιν. ἰατρεύσεις δὲ οὕτως· χαλβάνης κεράτια γ΄· ἀγριοσταφίδος κέρ. β΄· στάχοις λευκοῦ

ἀφελκοῦ κέρ. γ΄. σιδηρόπου βοτάνης κέρ. β΄. κοριάνδρου ῥίζης· κέρ. γ΄. ὁμοῦ ταῦτα πάντα μίξας, δίδου τῷ ἱέρακι ὄφας ε΄.

Πρὸς ἀνάπνοιαν ἀντίδοτον.

Στάχυν ἀρκαδικὴν οὐγγ. α΄. κόκκοις οὐγγ. α΄. κόστου οὐγγ. α΄. στάχυν ἰνδικήν· οὐγγ. α΄. ἀργαλικοῦ χλωροῦ οὐγγ. α΄. κρόκου οὐγγ. α΄. κύφιν οὐγγ. δ΄. ταῦτα πάντα εἰς οἶνον παλαιὸν, ἢ ἕτερον οἶνον καλὸν ἀποβρέξεις, καὶ οὕτως τὴν ἰατρείαν ποιήσεις. ἐὰν δὲ εἴδη πάντα ταῦτα οὐκ ἔχῃς τοῦτο ποίησον· κονιορτὸν ἀπὸ φακῆς καὶ πήγανον τρίψον· καὶ μίξον μετὰ ἐλαίου ἱσπανικοῦ, καὶ δὸς αὐτῷ φαγεῖν.

Ἄλλο ἀντίδοτον δι᾽ ἀψίνθης.

Μαστίχης οὐγγ. α΄. ἀψίνθιον οὐγγ. α΄. βοτάνην βετονίκην οὐγγ. ς΄΄. εὐφορβίου οὐγγ. α΄. ἔλαιον ῥόδινον λίτρ. α΄. μέλιτος οὐγγ. α΄. κυμίνου οὐγγ. β΄. λασάρου οὐγγ. α΄. τὰ πάντα μίξας κοπάνισον, καὶ ἀναμίξας ἄλειφε τὸ κρέας, καὶ δίδου φαγεῖν τῷ ἱέρακι.

## Εἰς πᾶν εἶδος ἀναπνοῆς ἀντίδοτον.

Ῥίζαν ἐργαλικὴν οὐγγ. α΄. βούτυρον οὐγγ. α΄. ἀλόην ὀλίγην. ταῦτα πάντα τρίψας καὶ λειώσας, δίδου τῇ ἡμέρᾳ ὀφὰς τρεῖς, τῇ α΄. τῇ β΄. ὀφὰς ε΄. τῇ τρίτῃ, ὀφὰς ζ΄. τῇ δὲ τετάρτῃ, ζεστὴν δώσεις χοίρειον κρέας. μὴ ἐξέλθῃ δὲ ποσῶς τῆς μούτας, ἀλλ' ἐκεῖ ἔστω ἡμέρας ιε΄. καὶ ὅταν θέλῃς ἐκβαλεῖν αὐτόν, μὴ ἔστω *καλλιπαρός.

## Ἄλλο ὃ ζηγγέρειος κατήρτισε.

Φιλόλβιον πέπερι, λίβανον ἀρσενικόν, κόστου, στάχος ἰνδικὸν κρόκον, καρυόφυλλον, στάχος ναρδικόν, ῥίζαν τοῦ δοίνου, ἀλόην ἡπατικήν, ἀγελοσταφίδα· ἕκαστον ἀνὰ οὐγγ. α΄. βάλε μυελὸν ἐλαφίου οὐγγ. ϛ΄. βουτύρου ποντικοῦ οὐγγ. ϛ΄. ὀποῦ βαλσάμου οὐγγ. ϛ΄. μιγκώμινον· ἔλαιον ἰσπανικὸν τῷ αὐτῷ μέτρῳ.

## Ἄλλο.

Ζωμὸν κυδωνίου, ἢ κάζδου μετὰ μέλιτος παλαιοῦ μίξας, δὸς μετὰ κρέως χοιρείου ζεστοῦ τῷ ἱέρακι φαγεῖν, καὶ τὴν δυσπνοίαν καθίστησιν.

## Εἰς ἀναπνοίην φλεγματικήν.

ΑΝαπνοίην φλεγματικὴν οὕτως νοήσεις τὸ ἱέρακα ἔχοντα. ἔρχεται χασμᾶσθαι, ξερᾶν· ἰατρεύσεις δὲ οὕτως· ὑγρόπισσον καθαρὸν μετὰ μέλιτος αὐτῷ δώσεις πιεῖν ὀφὰς τρεῖς, καὶ πρὸς τὸν ἥλιον δήσας, ἕως οὗ αὐτὸ τὸ μέλι * εὐπορήσῃ, καὶ ἐπὶ τῆς χειρὸς καθίσεις, καὶ θρέψεις περιστερόπουλον ζεστὸν ἢ ποντικόν. τοῦτο δὲ διὰ τριῶν ἡμερῶν ποιήσεις.

Αλλο.

Κυνοχέστην τρίψας μετ' ἐλαίου ὀλίγου καὶ οἴνου καλοῦ δίδου ἐξ αὐτοῦ ὀφὰς καθεκάστην πέντε εἰς τὸ μέσον τοῦ κρέατος. τοῦτο διὰ τριῶν ἡμερῶν ποιήσεις, ἕως ἂν αὐτὸν θρέψῃς ἀπὸ περιστερᾶς, καὶ ἰαθήσεται.

Αλλο.

Διὰ σκυλοπούλου· δώσεις ὀφὰς τρεῖς μίαν ἡμέραν, καὶ εἰς τὴν δευτέραν ὀφὰς ε΄. καὶ εἰς τὴν τρίτην ὀφὰς ζ΄. καὶ διὰ τῶν αὐτῶν τριῶν ἡμερῶν σκυλόπουλα φάγῃ ζεστὰ τυφλά.

### Ἄλλο.

Διὰ λιβάνου. Κινάμωμον, οὐγγ. α΄. ἄμωμον οὐγγ. ς΄΄. μετὰ ἀποφελισμένου τὸ ἀρκουδ· μαλάξας ὁμοῦ, καὶ συμμίξας μετὰ κρέατος δώσεις διὰ τριῶν ἡμερῶν.

### Εἰς ἀναπνοὴν κεφαλῆς ἱέρακος.

Ο ἱέραξ εἰ πρὸς ἀναπνοὴν κεφαλῆς ἔχῃ, οὕτως νοήσεις· οἱ ὀφθαλμοὶ αὐτοῦ πεπρισμένοι, καὶ ἀπὸ τοῦ στήθους ἀναπνήγεται. καὶ θεραπεύσεις οὕτως· σπέρμα ἀγγελοσυκῆς, μετὰ ὀλίγον, οἶνον παλαιόν· μίξας ὁμοῦ, ἐπιτρίψας, καὶ διὰ τῶν ῥινῶν ἐπιβάλλεις· τοῦτο διὰ τριῶν ἡμερῶν ποιήσεις· εἶτα δώσεις σκυλόπουλον μικρὸν φαγεῖν.

### Ἄλλο.

Γάλα ὀνοθηλείας, ἔλαιον ῥόδινον· ἔστω δὲ πλέον τὸ γάλα. καὶ ταῦτα ἔμβαλον εἰς χαλκουῦτι κενούργιον, καὶ θέρμανον· χλιανθέντα οὖν, δὸς τῷ ἱέρακι ἐξ αὐτῶν ὀφὰς τρεῖς. τοῦτο δὲ ποίει ἐπὶ τρισὶν ἡμέραις, καὶ θεραπεύσεις.

## Εἰς ἀναπνοὴν τῶν ἐντός.

ΟΤΑΝ ἴδῃς τὸν ἱέρακα ἀναπνέοντα συνεχῶς, καὶ ἀνοίγοντα τὸ στόμα αὐτοῦ ἐπὶ κονταρίου καθήμενον, οὕτως θεραπεύσεις. ἀρσενίκην ξιστὸν γράμμ. β΄. ἀλόην ἡπατικήν. μύρα. σανδαράχην. κονιορτὸν ἀψινθίου τὰς ἴσας δραχμάς, ἄσβεστιν ζῶντα δραχμὰς γ΄. ταῦτα πάντα τρίψας, καὶ βάλλων τὸ ἄσβεστιν ἐν καινουργείῳ κακαβίῳ κατάσβεσον, καὶ ἐπάνω τῶν εἰδῶν κονιορτὸν συμμίξας· καὶ ἐκείνῳ τὴν ἰατρείαν ποιήσεις, κόκκια θ΄. τὸ δὲ καθ᾽ ἐν κοκκίν, *ὡς ἴσα κεράτιον α΄. καὶ ἐξ αὐτοῦ τῷ ἱέρακι δώσεις ἑκάστῃ ἡμέρᾳ ὀφὰς τρεῖς· τουτέστι κοκκία γ΄. τοῦτο διὰ τριῶν ἡμερῶν ποίησον· καὶ ὅτε αὐτῷ δώσεις τὰς ὀφάς, μετὰ τρεῖς ὥρας βάσταζον, ἕως τὰς αὐτὰς ὀφὰς ἐκβάλλῃ· ἕτερον δὲ ποίησον· κόνιν κεραμαρίνην ἔχουσα δακτύλοις ἕξ, πρὶν τὸν ἱέρακα καλέσεις, ἐπιστρώσεις αὐτόν, καὶ αὐτὴν τὴν κόνιν γέμουσαν οἴνου παλαιοῦ, διὰ στόματος αὐτοῦ ἐπιβάλλεις, καὶ τότε θρέψας αὐτὸν ἀπὸ κρέατος χοιρείου ἀποβεβρεγμένου ἐν οἴνῳ παλαιῷ.

## Ἄλλο.

Κύμινον τὸ γινόμενον ἐν τοῖς ὄρεσι, καὶ ἀργαλικὸν συμμίξας μετὰ οἴνου, δίδου μετὰ τροφῆς τῷ ἱέρακι, καθημέραν ὀφὰς τρεῖς. τοῦτο ποίησον ἐπὶ τρισὶν ἡμέραις, καὶ ἀφοδεύσει, καὶ ἰαθήσεται.

## Εἰς τὸν ἀπὸ στήθοις τρίζοντα.

Λίβανον ἀῤῥενικὸν, θεῖον, ἰσόσταθμα, μετὰ μέλιτος καὶ οἴνου μίξας ὁμοίῳ μέτρῳ, καὶ τρίψας μετὰ κρέατος χοιρείου, δὸς τῷ ἱέρακι φαγεῖν, καὶ ἰᾶται.

## Εἰς ὀλίγωσιν, ἤτοι πτωχείαν.

Εἰ ἱέραξ ἔχῃ ὀλίγωσιν, οὕτως αὐτὸν νοήσεις. ὅταν ἴδῃς αὐτὸν ἐκπνάσσοντα ὑπὸ ἀτονίας, καὶ βραδέως γνῶθι, ὅτι ἀπὸ πείνης εἴη· οὕτως οὖν θεραπεύσεις· φύλλα κυπαρίσσου, σπέρμα *ζινιφὲ, ῥίζας ὀλίγας εἰς ὕδωρ ἑψήσας, ἕως τελπωθῇ, καὶ ἐξ αὐτοῦ τὸν ἱέρακα ἀντλήσεις, ἢ ἀπὸ ὑγροποιοῦ κρέας ἀλείψας, καὶ ἐξ αὐτοῦ τὴν τροφὴν πρὸς ὀλίγον θρέψας ἥλιον.

Εἰς

## Εἰς τραῦμα κοιλίας.

ΟΤΑΝ ἴδῃς τὸν ἱέρακα, ὅτι τὴν κοιλίαν αὐτοῦ μαδίζει καὶ τὸ κῶλον αὐτοῦ· ἤδη δεῖ σε νοεῖν, ὅτι κοιλίας ἔχει· δοῦναι δὲ ὀφείλεις βουτύρου κοχλιάριον α΄. μυελὸν ἐλάφου κεράτια ϛ΄. σμύρνης κέρ. α΄. μέλιτος ἀρκοῦν. ταῦτα μίξας καὶ μαλάξας καθ' ἑκάστην ἡμέραν δίδου ὀφὰς ζ΄. μετὰ κρέατος ξαγείου· τοῦτο δὲ ποίει ἡμέρας ε΄. εἰς δὲ τὴν τελευταίαν ὀφὴν, δίδου χολὴν μετὰ δακρύου ἐλάφου, καὶ βίτουμε ἰουδαϊκοῦ, ὅσον ἡ ἄκρα τοῦ μαχαιρίου χωρεῖ, εἰς κρέας χοίρειον ζεστὸν ἐμβαλών.

Ἄλλο.

Σινωπίδιν ὀλίγον, τουτ' ἔστι μέλαψον, καὶ ἀπ' αὐτοῦ ὀφὰς τρεῖς εἰς ἡμέραν, καὶ εἰς τὸ σινωπίδιν βάλλων, αὐτῷ δώσεις, καὶ ἰαθήσεται.

Ἄλλο.

Χολὴν βοὸς τοῦ ἐπιλεγομένου ἀρκοῦ· χολὴν ἐλάφου, καὶ βίτουμε ἰουδαϊκοῦ μίξας μετὰ κρέως, τῷ ἱέρακι δώσεις φαγεῖν, καὶ ἰᾶται.

## Εἰς χολὴν ἱέρακος.

ΕΑΝ ἱέραξ ἔχῃ χολὴν, τὰ σημεῖα ταῦτα ποιεῖ· ξηρὰ φλέγματα πράσινα· καθαρείσεις δὲ αὐτὸν οὕτως. βιτονίκης κέρ. δ΄. ῥίζαν σελίνου κεράτιον α΄. μέλιτος κοχλιάρια β΄. μαῦρον σηπίας κοχλιάριον α΄. οἴνου καλοῦ τὸ ἀρκοῦν· ὁμοῦ ταῦτα τρίψας, καὶ εἰς ἀγγεῖον βάλλων, ὅταν αὐτὸν ἴδῃς ἀποβάλλοντα χολὰς, τότε αὐτῷ δὸς ἐξ αὐτῆς τῆς ἰατρείας βεβαμμένας ὀφὰς ζ΄. τῇ α΄ καὶ β΄ ἡμέρᾳ, ἀνὰ ὀφὰς ε΄. τῇ τρίτῃ ὀφὰς ϛ΄. τοῦτο ποιήσεις τρεῖς ἡμέρας μετὰ κρέατος οἱουδήποτε, καὶ εὐθὺς αἱ χολαὶ παρέρχονται· ἢ καὶ ὀφὰς χοιρείου εἰς δροσάτον βεβαμμένας τρεῖς δὸς αὐτῷ.

## Εἰς τὸ ξηρᾶσθαι φλέγμα ἢ χολήν.

ΚΟκκίδα λαβὼν, καὶ καθαρείσας αὐτὸ καλῶς, καὶ τὸ ἥμισυ θλάσας, καὶ ποιήσας αὐτὸ ὁμοῦ βουτύρῳ, καὶ τὸ ἥμισυ δὸς τῷ ἱέρακι ὀφὰς ε΄ μετὰ κρέατος οἱουδήτινος, καὶ μετὰ μέλιτος· ἐπίβαλε δὲ ἀπ᾽ αὐτῆς τῆς κοκκίδος, καὶ ὅταν ὁ ἱέραξ λάβῃ, στῆσον αὐτὸν πρὸς τὸν ἥλιον,

καὶ εὐθέως ἀπολύει πᾶσαν χολὴν καὶ φλέγμα· εἶτα ἑπτὰ κοκκία τῆς κοκκινίδος, καὶ ἕνα κόκκον πεπέρεως τρίψας ὁμοῦ, καὶ εἰς ὀφαὰς τῷ ἱέρακι δός.

## Εἰς τὸν ῥέγχοντα καὶ τρίζοντα.

ΕΑΝ ὁ ἱέραξ προσκρούσῃ τὸ στῆθος, οὕτως αὐτὸν νοήσεις· ὅταν ἴδῃς τὴν κεφαλὴν κλίνοντα καὶ καμμύοντα, νόει, ὅτι τὸ στῆθος προσέκρουσε. ταύτην δὲ τὴν ἰατρείαν ποιήσεις· ἐλάφειον ὅσον μέγεθος λεπτοκάρου· σανδαράχης κεράτιον α΄. κόκκους δάφνης β΄. ἐλαίου ἰσσανικοῦ κοχλιάρια β΄. μέλιτος καλοῦ κοχλιάριον α΄. κρόκον ὠοῦ ἐνός· οἴνου παλαιοῦ κοχλιάριον α΄. ὁμοῦ μίξας εἰς ποτήριον, ἀπ' αὐτοῦ τὸν ἱέρακα θρέψεις. εἰς κρέας οἱονδήποτε βάπτων ἡμέρας ε΄.

## Ἄλλο.

Σπέρμα ῥαφανῆς, πέπερι μετὰ ἀψινθίου τρίψας, εἰς ξηροφαγὴν ἐκβάλλῃς. εἰ οὖν πονηθῇ ἐκ τοῦ συμβαίνοντος,* καταςαλακτὴν διυλισμένην δὸς αὐτῷ πιεῖν· καὶ ἀπὸ τότε ξηροφαγὴν ζεστὴν δώσεις αὐτῷ φαγεῖν.

Ἄλλο.

Γάρος καὶ μέλι μίξας καὶ σκυλόπουλον ἀναζέσας, δὸς ἀπ' αὐτοῦ τῷ ἱέρακι. εἰ οὖν μὴ θελήσῃ ἅψασθαι τῆς τροφῆς διὰ τριῶν ἡμερῶν, ὀφὰς αὐτῷ δὸς καὶ μὴ θέλοντι, ἕως οὗ ἰαθῇ.

Ἄλλο.

Ὅταν ὁ ἱέραξ κρέας ξερεάσῃ μετὰ πόνου, τότε γνῶθι, ὅτι τὸ στῆθος προσέκρουσεν· οὕτως οὖν αὐτὸν θεραπεύσεις· κρόκον ὠοῦ, ἔλαιον ἱσπανικὸν τὸ ἀρκοῦν· οἶνον παλαιὸν ἴσον· ταῦτα τρίψας μετὰ κρέατος, δὸς τῷ ἱέρακι φαγεῖν· εἰ δὲ καὶ οὐ θέλει, κράτησον ἄκοντα, καὶ ὀφὰς εἰς τὴν ἰατρείαν ἀποβάψας, ἀνάγκασον αὐτὸν φαγεῖν· ἀλλὰ καὶ σιδήρου ῥίνισμα, εἰς τὸ κρέας ἔμβαλε.

Ἄλλο.

Ἐὰν ἱέραξ τὸ στῆθος προσκούσῃ καὶ εἰς τὸ κοντάρειον στήκων πάσας τὰς ὥρας, τὸ στόμα αὐτοῦ ἀνοίγῃ, τροφῆς τῷ ἱέρακι καθ' ἡμέραν τροφὰς τρεῖς· τοῦτο ποίησον ἐπὶ τρισὶν ἡμέραις, καὶ ἀφοδεύσει, καὶ ἰαθήσεται.

Ἄλλο.

Λίβανον ἀρσενικόν, θεῖον, ἰσόσταθμα μετὰ μέλιτος καὶ οἴνου μίξας ὁμοίως μέτρῳ, καὶ τρίψας

μετὰ κρέατος χοιρείου, δὸς τῷ ἱέρακι φαγεῖν, καὶ ἰᾶται.

Ἄλλο.

Μυελὸν μετὰ κρέατος ὀρνιθοπούλου δώσεις φαγεῖν, ἢ ἀξούγγιν χοίρειον ζεστὸν, καὶ τότε θήσεις αὐτὸν, ἢ εἰς τράπεζαν, ἢ εἰς κράβατον, ὅπου σιγὴ καὶ ἠρεμία ἐστί. εἰ γοῦν συσφίγγεται, ἤτοι στενοχωρεῖται, γίνωσκε τοῦτον ὑγιαίνειν· εἰ δὲ τὸ κρέας ὃ ἔλαβε ξηράσῃ * ὄζει. δὸς αὐτῷ κρέας μετὰ οἴνου παλαιοῦ. εἰ οὖν κενώσῃ, ἰαθήσεται· εἰ δ᾽ οὐ κενώσῃ, ψοφᾷ.

Ἄλλο.

Φολβίου, κόστου, στάχυος ἰνδικοῦ· σιδηρείτου βοτάνης, κρόκου· κηκίδος, μαστίχης, πυρέθρου, λασάρου, μύρου, ἀργαλικοῦ, λιβάνου ἀρσενικοῦ, πεπέρεως, ἀγριοσταφίδος κόκκους ζ. σανδαράχης, κανεὶς τὸ ς″. βουτύρου, λευκὸν τοῦ ᾠοῦ. σὺν τούτοις βάλε τὸ ἄνθος τοῦ γάρου, καὶ μέλι μετὰ οἴνου καλοῦ, καὶ ἔλαιον ῥόδινον, σιδήρου ῥίνησμα· ταῦτα πάντα ἴσῳ σταθμῷ μίξεις καὶ τρίψας καλῶς. καὶ ποιήσεις ὀφὰς ἀπὸ κρέατος χοίρου, καὶ ἐξ αὐτοῦ εἰς τὸ μέσον τοῦ κρέατος βάλλεις, ἵνα μὴ φανῇ ἡ ἰατρεία, καὶ οὕτως αὐτῷ δώσεις.

### Ἄλλο.

Ἄνθος ῥούσιον μετὰ ὕδατος μίξεις, καὶ εἰς ποτὸν τῷ ἱέρακι δώσεις καὶ τὰς αἰτίας τοῦ στομάχου ἰᾶται.

### Ἄλλο.

Οἵαν ὥραν ὁ ἱέραξ τὸ στῆθος αὐτοῦ προσκρούσῃ, κρατήσεις τράγον, καὶ σχίσεις αὐτοῦ τὸ ὠτίον, καὶ τὸ καταῤῥεῦσαι αἷμα ὑποδέξῃ, καὶ διὰ στόματος τοῦ ἱέρακος ζεστὸν αὐτὸ ἐπιδώσεις.

### Ἄλλο.

Η δύοσμον μετὰ γῆς κονιορτὸν καὶ μέλι μίξας εἰς ζωφλιὼ τῷ ἱέρακι δώσεις, ἢ ῥίζαν σινήπιως, καὶ ῥεπανίου· ἰσόσταθμα μίξας καὶ τρίψας. καὶ εἰς ζωφλιὼ ζῶσαν, ἢ εἰς γάλα, ἢ εἰς ἔλαιον ἱσπανικὸν μεμιγμένα δώσεις, ἢ κάρδαμον μικτὸν μετὰ μέλιτος καὶ οἴνου, καὶ μετὰ κρέατος χοιρείου τῷ ἱέρακι δώσεις φαγεῖν.

### Πρὸς τὸν ἀπόσιτον.

ΕΑΝ ὁ ἱέραξ ἀπόσιτον ἔχῃ, οὕτως νοήσεις· ὅταν ἴδῃς αὐτὸν πίνοντα πλέον τῆς συνηθείας αὐτοῦ, καὶ συχνὸν πυρετὸν ἔχῃ, καὶ σφικτὸν καθίσῃ καὶ οὐκ ἀπολύῃ ἀπὸ τῆς χειρὸς, οὐδὲ ἀπὸ τοῦ

κονταρείου, ἰδοὺ ὀφείλεις γνῶναι, ὅτι ἀπόστον ἔχει· οὕτως οὖν αὐτὸν ἰατρεύσεις· τρίχας χοίρου πέντε καταχεκομμένας διὰ δύο δάκτυλα, ῥίνισμα σιδήρου, ὅσον ἡ ἄκρα τοῦ μαχαιρείου χωρεῖ, τοσοῦτον δώσεις εἰς μίαν ὀφήν· εἶτα ταύτας τὰς τρίχας ἐμπήξας εἰς τὸ κρέας, ἀναμαλάξεις μετὰ τοῦ ῥινήσματος τοῦ σιδήρου, καὶ οὕτως δώσεις ὀφὰς ζʹ. ἀπὸ τοῦ οὐδήπινος κρέατος, τοῦτο ποιήσεις διὰ τριῶν ἡμερῶν· καὶ ὅταν ἴδῃς τὴν κόπρον τοῦ ἱέρακος ὡς κρόκον γενομένην, γίνωσκε, ὅτι ἐσχίσθη αὐτοῦ ὁ ἀπόστος. ὃν ἰατρεύσεις οὕτως· δώσεις αὐτῷ κονιορτὸν κικίδος, τὸν ὄντα εἰς τὸ μέσον τοῦ αὐτοῦ κικίδος· ὀστέα φοινίκων καύσεις, καὶ εἰς χνοῦν μεταβάλλεις· μέλι τὸ ἀρκοῦν. ταῦτα ἀναμίξας, ἐξ αὐτοῦ δὸς τῷ ἱέρακι, καὶ θεραπεύσεις μετὰ περιστεροπούλου, ἢ ὀρνιθοπούλου. καὶ δώσεις αὐτῷ καθ' ἑκάστην ἡμέραν ὀφὰς εʹ. καὶ δώσεις τὴν ἐπιγεγραμμένην ἰατρείαν διὰ μιᾶς ὀφῆς, ὅσον του ἡ ἄκρα τοῦ μαχαιρείου χωρήσει· τοῦτο ποίησον διὰ πέντε ἡμερῶν, καὶ ἰαθήσεται· καὶ ὅταν σοι τὸ σῶμα θάλλον δείξῃ, τότε εἰς τὸ κυνήγιον αὐτὸν προβλέψεις.

## Ἐὰν ὁ ἱέραξ ἔχῃ ἥλοις, ἤτοι καρφία.

ΕΑΝ ὁ ἱέραξ ἔχῃ καρφία, οὕτως αὐτὸν γνώσῃ· ἐν τοῖς ποσὶν αὐτοῦ ἔχει πάπουλα ὀξέα· τοῦτον οὕτως ἰατρεύσεις· μύρραν οὐγγ. α΄. μαστίχην οὐγγ. ϛ΄΄. πυρέθρου οὐγγ. ϛ΄΄. ἀσκαμωνίαν, τὴν λεγομένην γαλακτίδα, οὐγγ. ϛ΄΄. σπέρμα ἀνήθου κερ. ϛ΄. κοκκόδαφνα κερ. ε΄. ταῦτα πάντα ὁμοῦ τρίψας καὶ κοσκινίσας, μίξεις εἰς ῥιτίνην λευκὴν, λίτρ. α΄. ἔλαιον ῥόδινον οὐγγ. ἕξ. ἀξούγγιν χοίρειον οὐγγ. ϛ΄. κηρὸν κίτρινον οὐγγ. ϛ΄΄. ὁμοῦ ταῦτα μίξας, βάλλε αὐτὰ εἰς κάκκαβον καινουργῆ, καὶ στῆσον αὐτὰ εἰς πῦρ, ἕως οὗ ἀναλυθῇ ἡ ἰατρεία· καὶ εἶθ' οὕτως καταφέρον ἀπὸ πυρὸς, ἵνα χλιανθῇ, καὶ οὕτως καθαρίσας τὸν ἱέρακα μετὰ στάκτης ἀπὸ κληματίδων γενομένης· καὶ θέρμανε τὴν αὐτὴν καταστάλακτην, ὅσον ἡ χεὶρ σου τὴν θέρμην βαστάζει· καὶ ἀντλήσεις αὐτὸν, καὶ πρὸς τὸν ἥλιον καθίσας, ἵνα οἱ πόδες αὐτοῦ θερμανθῶσι· καὶ οὕτως ἀπὸ τῆς ἰατρείας τοὺς πόδας αὐτοῦ ἀλείψας, εἶθ' οὕτως θρέψας αὐτὸν κρέας βρασὸν, τοῦτο ποιήσεις, ἕως οὗ καθαρισθῇ.

Εἰς

Εἰς πυρετὸν τοῦ ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ πυρετὸν ἔχῃ, οὕτως αὐτὸν γνωρίσεις· ὅταν ἴδῃς ἐν στόματι φλυκτίδας ἔχοντα δίκην σεμιδάλεως, γνῶθι ὅτι πυρέσσει. οὕτως οὖν αὐτὸν ἰατρεύσεις· μέλι κοχλιάρ. μίαν· κρόκον, ὅσον οἱ δύο σου δάκτυλοι λάβωσιν· οἶνον παλαιόν, κοχλιάρ. μίαν· ἔλαιον ῥόδινον κοχλιάρ. μίαν. ταῦτα μίξας, καὶ τὰ φλυκτώδη μετὰ βελόνης ξυπήσας, οὕτως ἐξ ἐκείνης τῆς ἰατρείας περιθρέψας τὴν τροφὴν αὐτοῦ εἰς ταύτην ἐγκυλίσας. ἔστω δὲ αὕτη, κρέας τράγιον.

Ἄλλο.

Τὸ στόμα τοῦ ἱέρακος διὰ τριῶν ἡμερῶν ἀπότριβε μετὰ τοῦ δακτύλου σου, καὶ ἰαθήσεται.

Βετονίκην τρίψας, καὶ μέλιτι μίξας, τῷ ἱέρακι δίδου. αὕτη γὰρ ἡ βοτάνη μ' νοσήματα ἰᾶται.

Ἄλλο.

Ἄνθος κυδωνίας μετὰ μέλιτος μίξας εἰς κρέας ζεστὸν, δώσεις τῷ ἱέρακι φαγεῖν.

## Ἄλλο.

Φολβίου κεράτια β΄. καρυοφύλλου κόκκοις ε΄. κρόκου οὐγγ. ς΄΄. σκωρίου σιδήρου κέρ. α΄. ἐλαίου ῥοδίνου κοχλ. β΄. οἶνον καλὸν κοχλ. δύο. μέλι κοχλ. β΄. πεπέρει κόκκοις ζ΄. ταῦτα πάντα κόψας καὶ μίξας, ἐξ αὐτῶν θρέψας τὸν ἱέρακα ἡμέρας ε΄. μετὰ κρέατος ὀρυδήπνου.

## Ἄλλο.

Ῥόδον ἀληθινὸν ψυκτὸν μετὰ ἐλαίου ἰασανικοῦ, καὶ μέλιτος, καὶ οἴνου καλοῦ· μίξας καὶ ζέψας, οὕτως τὸν ἱέρακα θρέψας.

## Ἀντίδοτον διδόμενον τῷ ἱέρακι.

ΟΤΑΝ ἴδῃς τὸν ἱέρακα ὅτι τὸ κρέας εἰς λεπτὸν κόπτῃ· γνῶθι, ὅτι συγχαίνεται. στρουθία οὖν οἰκιακὰ ζῶντα δώσεις, καὶ εἰς μέλι ἀποβάψεις καὶ δώσεις αὐτῷ φαγεῖν. ἐὰν δὲ μὴ θελήσῃ, θὲς αὐτὸν ὑπτίως· καὶ οὕτως παράβαλε ἕως τρεῖς ἡμέρας· καὶ μετὰ ταῦτα εἰ κυνήγιον ἐξάγαγε, καὶ τὴν περδίκην δὸς αὐτῷ φαγεῖν.

## Εἰς ἕλκος ἱεράκων.

ΕΙ δὲ ὁ ἱέραξ ἕλκη ἔχῃ, οὕτως αὐτὸν καθαρίσεις. οἴνου ξεστίον ἕν, καὶ ὕδωρ γλυκὺ θερμαίνας, θάλψον τὸν ἱέρακα, καὶ τοιοῦτον ἔμπλαστρον ποίησον. μαστίχην, οὐγγ. α'. στυπτηρίαν σχιστὴν οὐγγ. α'. ῥιτίνην λευκὴν οὐγγ. α'. μέλι τὸ ἀρκοῦν· ὁμοῦ ταῦτα μίξας, καὶ ἐξ αὐτῶν ἔμπλαστρον ποιήσας, τὰς πληγὰς πρὸς τὸ ἀρκοῦν ἀλείψας· τοῦτο ποιήσεις, ἕως οὗ καθαρισθῇ. κρέατα οὖν ἐσθιέτω ζεστὰ ὁποιαδήποτε· μόνον βόειον μὴ φάγῃ. κονιορτὸν σιδήρου, τὸν ἀποπίπτοντα τῷ ἄκμωνι, τρίψας καὶ κοσκινίσας, μετὰ κρέατος χοιρείου δὸς τῷ ἱέρακι.

## Ἐὰν ὁ ἱέραξ ἔχῃ κήλην.

ΕΑΝ ὁ ἱέραξ κηλωθῇ, οὕτως αὐτὸν θεραπεύσεις. βοτάνης γαλούτης κέρ. γ'. κοριάνδρου ῥίζαν κέρ. γ'. πεπέ. κόκκους ζ'. σελίνου ῥίζαν κέρ. α'. πράσου ῥίζαν κέρ. α'. ἔλαιον ῥόδινον, μέλι καλὸν, ἴσῳ σταθμῷ δὸς τῷ ἱέρακι, καὶ ἰαθήσεται.

## Οταν ἀφοδεύῃ τεάφιν.

ΤΑῦτα εἰσὶ τὰ σημεῖα· ἐὰν κόπτωνται τὰ πτερὰ αὐτοῦ ἀπὸ τῶν πτερύγων, καὶ ἐπὶ τῶν μεταφρενῶν αὐτοῦ πτερὰ στήκωσι καὶ ἀφοδεύῃ ὡς τεάφιν καὶ φαίνεται ὡς ἀμανιτάρειν, οὕτως αὐτὸν θεραπεύσεις· ποίησον ἰατρείαν τὴν λεγομένην θεοδωρήτου· κρόκον, ῥέον ποντικὸν, ἄκορον, μαστίχην ἀνὰ δραχμῶν τελῶν· ἀλόης δραχμὰς ι'. ἀργαλικὸν, δραχμὰς ιβ'. κασσίας δραχμὰς θ'. ἄσαρον, ξύλον βαλσάμου, χαμαιδρυώης, πεπέρεως ἀνὰ δραχμῶν β'. κόστου δραχμὰς δ'. στάχυν ἰνδικὸν δραχμὴν α'. μέλιτος καλοῦ ἀποφερισμένου τὸ ἀρκοῦν.

## Εἰς τὸν βραδέως τρώγοντα.

ΕΑΝ τὸν ἱέρακα ἴδῃς βραδὺ τρώγοντα, καὶ τὴν ζοφὴν αὐτοῦ εἰς τὸν λαιμὸν ἱσταμένην, γνῶθι, ὅτι πεπαζαγμένος ἐστὶν ἀπὸ τοῦ πονεῖν τὰς πλευράς· οὕτως δὲ αὐτὸν ἰατρεύσεις· σελίνου σπέρμα κεράτιον α'. κόστου κεράτια β'. κρόκου κέρ. α'. μυελὸν ἐλάφου κέρ. β'. οἶνον καλὸν, σπέρμα καρδαμόμου κεράτιον α'. φολβίου

κέρ. α΄. κύμινον τὸ ἀρκοῦν· ταῦτα πάντα ὁμοῦ τρίψας, ἐξ αὐτῶν τὴν ἰατρείαν ποίησον, καὶ τὸν ἱέρακα θρέψον μετὰ κρέατος ὁποιουδήτινος.

## Εἰς ἕλμινθας.

ΕΑΝ ὁ ἱέραξ ἕλμιν ἔχῃ· οὕτως αὐτὸν γνώσῃ· συχνῶς τὴν οὐρὰν σείει. ὑγροπίασιν καθαρὸν· ἔλαιον ἰσπανικὸν, μέλι ὁμοῦ μίξας, θρέψον ἐξ αὐτῶν τὸν ἱέρακα μετὰ κρέατος τρεῖς ἡμέρας· εἰ δὲ πλείονας τοῦτο ποιήσῃς, μᾶλλον ὠφελήσεις.

## Ἄλλο.

Πήγανον μετὰ ἐλαίου ἰσπανικοῦ ἑψήσας, καὶ τὴν τροφὴν τοῦ ἱέρακος εἰς αὐτὸ ἀποβάψας θεραπεύεται. ἢ κορίανδρον τρίψας μετὰ ἐλαίου, ἀπόβαψον εἰς αὐτὸ τὴν τροφὴν τοῦ ἱέρακος. ἢ σκόρδον τρίψας μετὰ γλήχωνος, καὶ ἡδυόσμου. καὶ τὸ κρέας ἐν τούτοις ἀπόβαφε. ἢ αὐτὰς τὰς ἕλμινθας καῦσον, καὶ εἰς κρέας χοίρειον τῷ ἱέρακι δὸς ἐπὶ τρισὶν ἡμέραις, ἢ μυελὸν ἐλάφου μετὰ κρέως ζεστοῦ· ἐπὶ τρισὶν ἡμέραις δὸς, καὶ θεραπεύσεις.

## Εἰς πρισμόνην τοῦ φάρυγγος.

Ἔλαιον παλαιὸν ἀπὸ καρύων μετὰ βουτύρου συμμίξας, τὸν οὐρανίσκον τοῦ ἱέρακος τρίβε, καὶ ἰαθήσεται. ἢ καὶ τὴν ζωφὴν αὐτοῦ, εἰς τὴν τοιαύτην ἰατρείαν ἔνβαφε. ἢ καὶ σευτλόριζον μετὰ σινάπεως τρίψας καὶ ἀποπιέσας, ἐξ αὐτοῦ τὰς ῥίνας καὶ τὸν οὐρανίσκον ἐπάλειφε, καὶ πᾶσαν τὴν κεφαλαλγίαν ἀποκόψεις.

## Εἰς τὰ σκληρὰ τοῦ ἱέρακος.

Συχνῶς τὸν πλεκτὸν τῷ κοντῷ ἐγγίζει, καὶ ἀφοδεύει δίκην μέλανος· δεῖ οὖν σε γινώσκειν, ὅτι ἀπόσκληρα ἔχει· οὕτως οὖν ἰατρεύσεις· ἀλόην ἀττικὴν κεράτια δ΄. τεάφιν ἀσιανὴν κεράτ. α΄. μέλιτος τὸ ἀρκοῦν· ταῦτα μίξας, τὸν ἱέρακα ἐξ αὐτοῦ θρέψεις μετὰ κρέατος βοείου, καθ' ἡμέραν ὀφὰς ζ΄. * ὅσον σου ἡ ἄκρα τοῦ μαχαιρίου χωρεῖ. εἰ δὲ ἡ κοιλία τοῦ ἱέρακος ἐπέχεται, τῆς κοιλίας τὰ ἔνδοθεν σὺν τῇ κόπρῳ καὶ αἷμα παιδαρίου συμμίξας, εἰς ζωφὴν αὐτῷ δός· καὶ λύσεις αὐτήν.

## Ἄλλο.

Ὅταν ἴδῃς αὐτὸν τρύζοντα ἐν τῷ ἀφοδεύειν, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ κλαίουσιν· οὕτως αὐτὸν θεραπεύσεις, ὀρνιθόπουλον ζεστὸν τρεῖς ἡμέρας αὐτῷ δός, καὶ τὰ σκληρὰ ἀναλύσει· ἢ ποντικοὺς ζῶντας σὺν ταῖς θριξὶν αὐτῷ τούτῳ δός, ἢ μέλι ἀπεφελισμένον μετὰ κρέατος ζεστοῦ, ἢ μυόσκατον εἰς ὑδρόμελι τρίψας καὶ εἰς κρέας ἐπράνας, ἀπ᾽ αὐτοῦ τὸν ἱέρακα κάλεσον, ἢ ἀλόην δὸς ἡπατικήν, ὅσον ἐρεβίνθου τὸ μέγεθος.

## Ἄλλο.

Ἐλάφου μυελόν, βουτύρου, ἔλαιον νέον, συλλέξον ἐκζέσας, καὶ εἰς τὸν αὐτὸν ζωμὸν συμμίξας ὀργαλικόν· ὑοσκυάμου, πολυτρίχου, ἔλαιον ῥόδινον, μυόχονδρον καὶ ἐξ αὐτῶν αὐτῷ δώσεις ὀφαί, ἢ ῥίζας σινάπεως καὶ καρυοφύλλου τρίψας, καὶ εἰς γάλα προβάτου, ἢ εἰς ἔλαιον ἰσπανικὸν μίξας κρέας χοίρειον, τὸν ἱέρακα θρέψεις, ἢ ἀπὸ ζωμοῦ κυνοχέσου, καὶ κονιορτὸν πεπέρεως. καὶ σελίνου σπέρμα μετὰ μέλιτος εἰς κρέας χοίρειον βάλλων, δώσεις αὐτῷ φαγεῖν.

## Εἰς τοὺς λίθοις, καὶ τὴν δυσουρίαν.

ΕΑΝ ἱέραξ λίθοις καὶ δυσουρίαν ἔχῃ, οὕτως αὐτὸν γνώσῃ· οὐκ ἀφοδεύει, εἰ μὴ ὀλίγον, καὶ μετὰ τελεσμοῦ τοῦ στήθοις, καὶ αὐτὸ ὃ ἀφοδεύσει, σκληρόν ἐστιν, ὡς λίθος ἀπὸ μιᾶς ὑδαρόν· ῥάφανον γλύψας, καὶ εἰς αὐτὸ βάλλε ἅλας, καὶ εἰς κακάβιν καινὸν βάλε αὐτὸ, καὶ ἐπίθει ἀνθρακίαν μαλακὴν, καὶ ὅτε λυθῇ, εἰς τὸν αὐτὸν ζωμὸν κρέας χοίρειον ἀποβάψας, καὶ μετὰ ταῦτα εἰς λεκάνην ὕδατος πεπληρωμένην βάλλε αὐτὸν, καὶ ὅλην τὴν ἡμέραν ἐκεῖ ἔσω, καὶ ὅσον θέλει ἂν πίῃ· ὅτι πυρέσσει· καὶ ὅσον πίει, πολὺ ἰᾶται.

### Ἄλλο.

Φακὴν σύντριψον καὶ μετὰ ἐλαίου ῥοδίνου σύμμιξον, καὶ μετὰ μέλιτος κρέας ἐμβάψας δὸς τῷ ἱέρακι, ἢ λαχάνων τὰς ῥίζας, καὶ σινάπεως φύλλα σὺν αὐταῖς κοπανίσας, καὶ ἀποπιέσας μετὰ δακρύων τῆς τερεβίνθου, εἰς θερμὸν συμμίξας, καὶ τρίψας μετὰ ζωμοῦ τοῦ ῥαφανίου, καθὼς εἴρηται, εἰς κρέας δὸς τῷ ἱέρακι φαγεῖν, ἢ βοτάνην κλυστερίαν, μετὰ λευ-

κοῦ

κοῦ τοῦ ὠοῦ καὶ μέλιτος καὶ ἅλατος ὀλίγου μίξας, διὰ σόματος ἔχειν, ἢ σκελίδας τρεῖς σκορόδου ἕψησον μετὰ σπέρματος βοτάνης τῆς λεγομένης μεσικάλης, καὶ τρίψας αὐτὰ θέρμανον, καὶ τῷ ἱέρακι δὸς, ἢ κρέας βόειον εἰς μέλι ἀπηργισμένον βάψας, δὸς αὐτῷ φαγεῖν.

## Εἰς λεύκωμα καὶ πάπλασιν ὀφθαλμῶν ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ λεύκωμα ἔχῃ εἰς τὸν ὀφθαλμὸν, συχνῶς μετὰ ὕδατος ψυχροῦ τὸν ὀφθαλμὸν φύσησον· εἶτα σκόρδον καππαδοκικὸν, καὶ κόκκον φάβατος μετὰ ἅλατος μάσησον, καὶ οὕτως τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐπίῤῥανον· τοῦτο δὲ νῆστις ποιήσεις, ἕως οὗ καθαρισθῇ.

## Ἄλλο.

Ἅλας καππαδοκικὸν, καὶ ὀστέα σηπίας μάσσησον, καὶ τοῖς ὀφθαλμοῖς ἐπίῤῥανον· θεραπεύεται καὶ οὕτως· βοτάνην τὴν λεγομένην εὔβουλον, ἣ τις εἰς τὸν κῆπον τὸν θερμὸν τοῦ μαξιμιανοῦ γίνεται, τρίψον, καὶ μετὰ πανίου καθαροῦ εἴλησον· καὶ τὸν ἱέρακα ἐπιστρέψας καὶ μετὰ πτεροῦ τὸν ὀφθαλμὸν αὐτοῦ ἄλειφε. τοῦ-

το τρεῖς ἡμέρας ποιήσῃς, καὶ ἰαθήσεται.

## Αλλο.

Λεπτόκαρον λεπίσας, καὶ τὸν φλοιὸν καθαρίσας, μετὰ οἴνου μάσσει, καὶ εἰς τὸν ὀφθαλμὸν τοῦ ἱέρακος ἐκπίασον· τοῦτο τρεῖς ἡμέρας ποιήσῃς, καὶ ἰαθήσεται· τινὲς δὲ γάλα ἐκ γυναικὸς εἰς τὸν ὀφθαλμὸν τοῦ ἱέρακος βάλλουσι, καὶ καθαρίζεται. οἱ δὲ σκορπίους ἐξ ἀγροῦ δύο εἰς χύτραν καινὴν καύσαντες, ἕως οὗ εἰς κονιορτὸν γένωνται, εἰς τὸν ὀφθαλμὸν τοῦ ἱέρακος βάλλουσι, καὶ καθαρίζεται. τοῦτο ποιοῦσιν, εἰ ἔστι λεύκωμα· ἐὰν δὲ τὸν ὀφθαλμὸν παταχθῇ, συχνῶς ὕδωρ ψυχρὸν ἐπιρραίνουσι, καὶ βετονίκην κοπανίσαντες, καὶ ἐκπιάσαντες τὸ ἀπόζωμον, εἰς τὸν ὀφθαλμὸν ἐμβάλλουσι, καὶ θεραπεύεται· οἱ δὲ ἅλας καππαδοκικὸν καὶ πόντιον μασησάμενοι, τὸν ὀφθαλμὸν προσφυσῶσιν· ἢ ἄλλος* τις ἔφησεν* ἀλὸς ἄχνην ἐπαλείφουσιν, αὕτη τοὺς δυσκωφοῦντας ὠφελεῖ, εἰς τὰ ὦτα ἐμβαλλομένη· τινὲς δὲ βοτάνην ἀείζωον, ἣν καλοῦσιν ἀμάραντον, τρίψαντες, τὸ τρίμμα εἰς τοὺς ὀφθαλμοὺς τοῦ ἱέρακος ἐπιβάλλουσιν.

### Εἰς τοὺς ἐν τοῖς ὀφθαλμοῖς καταῤῥάκτας.

ΟΤΑΝ ὁ ἱέραξ καταῤῥάκτην ἔχῃ, μέλι ἄκαπνον καὶ χολὴν γυπὸς τρίψας, τοὺς ὀφθαλμοὺς ἄλειψον μετὰ μικροῦ πτεροῦ, καὶ ἰαθήσεται.

### Ἄλλο.

Ἐὰν ὁ ἱέραξ τοὺς ὀφθαλμοὺς αὐτοῦ πονέσῃ ἀπὸ αἰτίου κεφαλῆς· οὕτως αὐτὸν γνώσῃ· τὰ ἐπόρρυα τῶν ὀφθαλμῶν αὐτοῦ σκεπάζει, καὶ αἱ ῥῖνες αὐτοῦ ὑπὸ τῆς ὑγρασίας ἀναμεμιγμέναι εἰσὶ καὶ συχνῶς πτέρει. οὕτως οὖν αὐτὸν περιποίησον. χαλβάνης κονιορτὸν, καὶ ὀνοθηλείας γάλα μεμιγμένον εἰς τὸ ζωφίον αὐτῷ δώσεις. οἶνον δὲ παλαιὸν καὶ λάσταρον τετριμμένον, μίξας τὰς ῥῖνας αὐτοῦ, τρίψον τοὺς ὀφθαλμοὺς μετὰ οἴνου, καὶ ὠοῦ τὸ λευκὸν μεμιγμένα ἀλείψας, καὶ ἐν ταῖς ἡμέραις ταύταις ἔξω μὴ ἐκβάλλῃς αὐτόν.

### Εἰς νόσημα ἱέρακος.

ΕΑΝ ὑπὸ νοσήματος ἱέραξ καταχεθῇ, οὕτως αὐτὸν νοήσεις· βραδέως διορθοῦται, καὶ

τοὺς ὀφθαλμοὺς οὐ καλῶς ἐμβλέπει, καὶ τεθλιμμένος κάθηται. τοῦτον οὕτως περιποίησον· σπέρμα ῥαφανῆς, ἀψίνθιον πόντικον τρίψας, καὶ τὸν κονιορτὸν αὐτῶν μετὰ καλάμης τοῦ ἱέρακος ἐμφυσήσεις ταῖς ῥισὶ, καὶ ἰᾶται. Ἄλλοι δὲ, σευτλόριζα ἄγρια ἢ κηπουρικὰ καθαρίσαντες, καὶ μετὰ ὄξους τρίψαντες, εἰς λινοῦν πανίον ἀποπιέσαντες, τὸν ζωμὸν διὰ τῶν ῥινῶν αὐτοῦ ἐμβάλλουσι.

## Εἰς κεφαλαλγίαν.

Ρίζας ἀγριομαλάχου ὡρίμου συνάξεις, καὶ τρίψας, καὶ εἰς ὄξος δριμὺ ἐμβαλεῖς, καὶ μεθ' ἡμέραν εἰς τὰς ῥῖνας αὐτοῦ βαλεῖς, καὶ εἰς τὸν οὐρανίσκον, καὶ οὐδέποτε τὴν κεφαλὴν πάθῃ.

## Ἄλλο.

Πήγανον ἄγριον, μετὰ ἐλαίου ἰσπανικοῦ, εἰς τήγανιν ἐβαλὼν, τηγάνισον· καὶ ὅταν αὐτὸ ἴδῃ, ὅτι ῥουσίον γίνηται, τότε κατέβαζε ἀπὸ τοῦ πυρός· καὶ ὅταν ψυχρανθῇ, βάλλε αὐτὸ εἰς βίκιον ὑέλινον, καὶ ἐξ αὐτοῦ κρέαν ὅταν βούλῃ ἐπίχριε, καὶ τὸν ἱέρακα τρέφεις.

## Εἰς ῥεῦμα κεφαλῆς ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ τὴν κεφαλὴν ῥευματίζηται, οὕτως αὐτὸν περιποίησον. ἀλόην ἡπατικὴν ὀλίγον τρίψας, ἐξ αὐτῆς εἰς κρέας βάλλε καὶ εἰς ἑπτὰ ἡμέρας θρέψας, καὶ ἰαθήσεται.

Ἄλλο.

Βάλσαμον πίσσαν κεδρέαν, σπέρμα εὐζώμου· σπέρμα πηγάνου· ὄξος· ὁμοῦ ταῦτα τρίβοντες ἀπ' αὐτῶν τὴν κεφαλὴν ἀλείφουσι τοῦ ἱέρακος.

## Εἰς πρισμονὴν κεφαλῆς.

ΕΑΝ πρισθῇ τοῦ ἱέρακος ἡ κεφαλὴ, οὕτως αὐτὸν περιποίησον. ἀπὸ τοῦ σινάπεος κόλικας ε΄ ποιήσας· καὶ πήγανον ἥμερον ὅσον εἰκάζεις ἀρκεῖν, λάβε σευτλόριζα ε΄, καὶ τρῖψον ὁμοῦ εἰς ἰγδίον χαλκούργιον, καὶ καλῶς εἰς πανὶν καθαρὸν ἀπόπιασον· ἐξ αὐτοῦ λάμβανε εἰς τὸ τρίτον· ἐντὸς τῆς ῥινὸς βάλλεις· καὶ πρὸς τὸν ἥλιον αὐτὸν κάθισον, καὶ ἰαθήσεται.

## Εἰς νόσον ἀφανῆ.

ΕΑΝ ὁ ἱέραξ τὰ ἐντὸς αὐτοῦ νοσήσῃ ἀπὸ πολλῆς ψυχρότητος, οὕτως αὐτὸν νοήσεις· ὡς κόπρον ὀρνιθερὸν ἀφοδεύσει, ἢ ὡς κρόκον, ἢ ὡς ἀληθινὸν αἷμα· ἔχει δὲ κεχαλασμένα τὰ πτερύγια, καὶ τὴν κεφαλὴν ὀρθοτειχισμένην· οὕτως δὲ αὐτὸν θεραπεύσεις· *ἵνα ἁρπάξεις ἱσταμένου τοῦ χοιρείου τὸ κρέας, καὶ χλιαρὸν βούτυρον* αὐτὸ ἀλείψας, καὶ τῷ ἱέρακι δώσεις· ἀμέλξεις δὲ αἶγα, καὶ θερμανεῖς τὸ γάλα, καὶ ἄρτον ὁλόκοπον ἐν αὐτῷ θρύψας, καὶ τῷ ἱέρακι δώσεις. τοῦτο ποιήσεις ἕως οὗ τὴν κόπρον καθαρίσῃ, καὶ τὸ σῶμα αὐτοῦ ἐρρωμένον ἴδῃς. ψυχροῦ δὲ μηδόλως γευέσθω.

### Ἄλλο.

Τὸ ὑγρὸν τῆς κυδώνης ἢ κίτρου ἀποπιέσεις μετ' οἴνου παλαιοῦ, ἢ μέλιτος, καὶ κρέας ἐξ αὐτοῦ ἀλείψας, καὶ τὸν ἱέρακα θρέψας.

## Εἰς κόρυζαν ξηρὰν τοῦ ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ κόρυζαν ἔχῃ, τὰ σημεῖα ταῦτα ποιεῖ. ὅταν ἴδῃς αὐτὸν, ὅτι ἵσταται χάσ-

κων, καὶ ὑγρὰ τῶν ῥινῶν ἐκβάλλει, δεῖ σε γι-
νώσκειν, ὅτι κόρυζαν ξηρὰν ἔχει. οὕτως οὖν αὐ-
τὸν ὠφελήσεις. ἀγελοσταφίδος· πεπέρ. κόκ. ζ΄.
φύλλου, ὅσον σου οἱ δύο δάκτυλοι λάβωσι,
καρυοφύλλου κόκκ. ε΄. στάχυν ναρδικὴν κέρ. α΄.
τρίψας ὁμοῦ καλῶς, καὶ μετὰ οἴνου παλαιοῦ
τὸν οὐρανίσκον τοῦ ἱέρακος πλύνε, καὶ ἐξ αὐτοῦ
λαβὼν, ὅσον σου οἱ δύο δάκτυλοι λάβωσι, τὸν
οὐρανίσκον τοῦ ἱέρακος τρίψας, οὕτως αὐτὸν
εἰς ἥλιον στῆσον, ἕως ὥρας η΄. θρέψεις δὲ καὶ κρέας
τράγου, καὶ ἰαθήσεται.

Ἄλλο.

Μέλι ἀττικὸν, σπέρμα βοτάνης ὑοσκυάμου
καὶ βούτυρον τρίψας, τὸν οὐρανίσκον αὐτοῦ ξύ-
σον, καὶ μετὰ πτεροῦ ἐπίχρισον διὰ τῶν ῥινῶν
αὐτοῦ. οἱ δὲ οὕτως παραποιοῦνται· σκόροδον
μετὰ οἴνου παλαιοῦ τρίψαντες, διὰ τῶν ῥινῶν
ἐγχέουσιν. οἱ δὲ κυπήρου κόκκοις ζ΄. σπέρμα ἀ-
γελοσυκῆς, κράμβην ὁμοῦ τρίψαντες, διὰ τῶν
ῥινῶν ἐγχέουσιν ἐπὶ τρισὶν ἡμέραις. πολλάκις
δὲ καὶ πέπερι προσμιγνύουσιν.

## Εἰς κόρυζαν ὑγρὰν ἱέρακος.

ΕΑΝ ἴδῃς τὸν ἱέρακα χάσκοντα, καὶ ὑγρὰ διὰ τῶν ῥινῶν ἐκβάλλοντα, δεῖ σε γινώσκειν, ὅτι ὑγρὰν κόρυζαν ἔχει· οὕτως οὖν θεραπεύσεις· ὑγροπίσσαν μετὰ μαλλίου εἰς τὸ στόμα αὐτοῦ ἔμβαλε· καὶ ὅταν καταπίῃ, ὄξος δριμὺ διὰ τῶν ῥινῶν αὐτοῦ ἔμβαλε, ἢ γάρος καλόν· καὶ πρὸς τὸν ἥλιον στήσεις, καὶ ἡνίκα * τὸ ὑγροπίσσιν μετὰ τοῦ μαλλίου ἐκτρίψῃ· μετὰ μέλιτος τὸν οὐρανίσκον τρίψον· ἐὰν δὲ ἴδῃς ἐν τῇ ἀρρωστίᾳ ἐγχρονίζοντα. σανδαράχην μετὰ ὄξους δριμέος τρίψον, καὶ ἐξ αὐτοῦ τὸν οὐρανίσκον ἄλειψον· ἕτεροι δὲ οὕτως περιποιοῦνται· πεπέρ. γράμμ. α΄. κόστου γράμμ. ϛ΄. χαμαιλέοντος γράμμ. α΄. συμμίξαντες, τὸν οὐρανίσκον αὐτοῦ τρίβουσι, καὶ ταῖς ῥισὶν ἐγχέουσιν.

## Εἰς κόρυζαν βαρεῖαν.

ΕΑΝ ὁ ἱέραξ κόρυζαν βαρεῖαν ἔχῃ· οὕτως αὐτὸν νοήσεις· ὅταν ἴδῃς αὐτὸν πτέροντα. καὶ ὑγρὰ διὰ τῶν ῥινῶν ἐκβάλλοντα, ἢ διὰ τῶν ὀφθαλμῶν ἀφρὸν, δεῖ σε νοεῖν, ὅτι κόρυζα βαρεῖα ἐστί· τοῦτον οὕτως ἰατρεύσεις· πεπέρεως

κόκκους

κόκκοις ε΄. σαφυλῆς ἀγρίας κόκκοις ε΄. σάγχαρ. σκόροδον ἕν. * ὑγροπίσσην καθαρὸν, ὅσον μετὰ ἑνὸς δακτύλου ἐπαίρεις. ταῦτα ὁμοῦ τρίψας, ἔπαρον, ὅσον σου ἡ ἄκρα τοῦ μαχαιρείου χωρεῖ, καὶ μετὰ ἐλαίου καὶ βαλσάμου τὸν οὐρανίσκον τοῦ ἱέρακος ῥῖψον, καὶ πρὸς τὸν ἥλιον στῆσον ἕως ὥρας ζ΄. καὶ θρέψον αὐτὸν μετὰ κρέατος ἀφουδήπινος.

## Εἰς κόρυζαν ἀφανῆ ἱέρακος.

ΟΤΑΝ ἴδῃς τὴν κεφαλὴν τοῦ ἱέρακος ὀγκωμένην, καὶ χαίτην ἔχῃ, ἢ τὸ στόμα αὐτοῦ πυκνῶς ἀνοίγῃ, ἢ βραδὺ ἀφοδεύῃ, γνῶθι ὅτι κόρυζαν ἀφανῆ ἔχει. οὕτως οὖν αὐτὸν περιποιήσῃ· σπέρμα ἀγριοπηγάνου, γράμμ. α΄. πεπέρεως γράμμ. α΄. πυρέθρου γράμμ. α΄. σαφυλῆς ἀγρίας κόκκοις κ΄. φολβίου γράμμ. α΄. κόστου γράμμ. α΄. ὁμοῦ τρίψας, τὸν οὐρανίσκον αὐτοῦ τρίβε.

## Γρὸς κόρυζαν συνάγχης.

ΕΑΝ ὁ ἱέραξ ἔχῃ κόρυζαν συνάγχης, οὕτως αὐτὸν νοήσεις· * πλέρει, καὶ ὁ λάρυγξ

περίσκεται ἀπὸ τῶν ὑγρῶν ἃ συνάγει· οἱ ὀφθαλμοὶ αὐτοῦ ἀφρὸν ποιοῦσιν· ἡ κεφαλὴ αὐτοῦ ὀγκωμένη ἐστίν· αἱ ῥῖνες αὐτοῦ οὐδὲν ἐκβάλλουσιν. τοῦτον οὕτως θεραποίησον· βοτάνην τὴν λεγομένην φρυαρίδην, τρίψας καὶ μίξας μετὰ οἴνου παλαιοῦ, καὶ ἐμβάψας κρέας χοίρειον ζεστὸν, δώσεις τῷ ἱέρακι· τινὲς δὲ ζωμὸν σεύτλου μετὰ μέλιτος ἐν ταῖς ῥισὶν ἐγχέουσιν· ἄλλοι δὲ γάλα γυναικεῖον μετὰ ζωμοῦ πηγάνου, διὰ τῶν ῥινῶν αὐτοῦ ἐγχέουσιν.

## Εἰς κόρυζαν κεφαλαλγικήν.

ΟΤΑΝ ὁ ἱέραξ κυπλὸς σταθῇ, καὶ ἀναπνέειν *ἔρχεται, καὶ οὐδὲ καλῶς βλέπειν δύναται, ἀλλ' ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ ἀφρὸν ἐκβάλλει, καὶ ἡ κεφαλὴ αὐτοῦ περίσκεται, γνῶθι ὅτι κόρυζαν ἔχει κεφαλαλγικήν· οὕτως οὖν αὐτὸν θεραπεύσεις. πεπέρεως οὐγγ. α'. λασάρου γράμ. ς'. κρόκου γράμ. γ'. ἀγριοσταφίδος κόκκους ι'. ἀράχνην οἰκιακὴν κόκκους ι'. ταῦτα μίξας καὶ τρίψας καὶ κοσκινίσας, μετὰ πτερίνου καλάμου διὰ τῶν ῥινῶν ἐμφυσήσεις, καὶ ἔξω αὐτοῦ τὸν οὐρανίσκον αὐτοῦ τρίψας, καὶ ὄξος δριμύτατον εἰς τὰς ῥῖνας αὐτοῦ ἐμβαλεῖς· καὶ

κ΄ ἡμέραις ἐν τῇ μούτᾳ ἔσται λελυμένος, καὶ εἰς τράπεζαν ἡ τροφὴ αὐτοῦ διδόσθω.

## Εἰς ποδαλγίαν ἱέρακος.

ΟΤΑΝ ἴδῃς τὸν ἱέρακα μετὰ τῶν πτερύγων αὐτοῦ συνεσφιγμένον, καθήμενον ὥσπερ ἐν τῇ φωλεᾷ, δεῖ σε γινώσκειν, ὅτι ποδαλγία ἐστίν. οὕτως οὖν αὐτὸν περιποιήσῃ. οἶνον καλὸν ξεστία τρία, καὶ ὁμοίως ὕδωρ, ὁμοῦ μίξας καὶ θερμαίνας, ὅσον ἡ χείρ σου βαστάζειν δύναται· οὕτως οὖν αὐτὸν θάλψας· καὶ ὅταν ἀπολούσῃς, κοβαρίσκια ποιήσας ἀπὸ μαλλίου ἀπολύτου ὑποκάτωθεν τῶν πτερύγων θήσεις, καὶ βαλεῖς αὐτὸν λανάτον, καὶ καθίσεις χαμαί, καὶ θερμανεῖς αὐτόν· καὶ ὅταν ἴδῃς γυμνούμενα τὰ μέλη τοῦ ἱέρακος, τοῦτο ἔμπλαστρον ποιήσεις· σμύρνης, μύρου γρ. α΄. ἀρσενικοῦ οὐγγ. β΄. μαστίχης οὐγγ. α΄. ἐλαίου ῥοδίνου ς΄Γ. κοχλιαρ. β΄. ὁμοῦ ταῦτα μίξας, ἔμπλαστρον ποιήσεις, καὶ εἰς δέρμα ἄσπρον ἐπιχρίσεις, καὶ θήσεις εἰς τοὺς πόδας αὐτοῦ, ἀλλάσσεις δὲ κατὰ τρεῖς ἡμέρας, καὶ κρέατα χοίρεια ζεστὰ αὐτῷ δώσεις.

## Ἄλλο.

Ἀξούγγιν ἀρκῴου θερμανεὶς, κακάβιν καὶ τοὺς πόδας αὐτοῦ συχνῶς ἀλείψας· ἄλλοι δὲ οὕτως περιποιοῦνται τοὺς πόδας αὐτοῦ, μετ᾽ οἴνου πλύνουσι, καὶ εἰς κοντάριον πλατὺ καθίζουσιν, ἵνα οἱ δάκτυλοι αὐτοῦ μὴ ζαρωθῶσι· τινὲς δὲ ὄξος χλίον τοὺς πόδας ἐπιβρέχουσιν. ἄλλοι ἀγριαγγουρέας ῥίζαν τετριμμένην μετ᾽ ὄξους τοὺς πόδας αὐτοῦ ἐντὸς λίασουσι. καὶ θεραπεύεται.

## Εἰς φθειριῶντα ἱέρακα.

Εἰ ὁ ἱέραξ φθεῖρας ἔχῃ, σανδαράχην τετριμμένην εἰς ψυχρὸν ὕδωρ ἐμβαλὼν, λοῦσον αὐτὸν, καὶ εἰς ἥλιον στῆσον, καὶ ἀπορρίψεις πάσας.

## Ἄλλο.

Ἔλαιον ῥόδινον μετὰ χολῆς βοείας, ἢ ἀξουγγίου, καὶ ἐλαίου. ἄλλοι στάφιν τετριμμένην εἰς ὕδωρ βάλλοντες οὕτως λούουσιν. Ἕτεροι λουπινάρια ἀπέβρεξαν, ἐξ αὐτῶν τὸν ἱέρακα λούουσιν· ἄλλοι ἀράχνην καύσαντες, τὸν ἱέρακα ὑποκαπνίζουσι, καὶ εὐθέως αἱ φθεῖρες

ἀποπίπτουσι. τινὲς δαφνελαίῳ δὲ ἀλείφουσι τὴν κεφαλὴν τοῦ ἱέρακος· ἕτεροι σανδαράχην καὶ βούτυρον, μετὰ κρέατος τῷ ἱέρακι διδῶσιν.

## Εἰς ἐξάρμωσιν καὶ κλάσμα ἱέρακος.

ΕΑΝ ἱέραξ εἰς τὸ κυνήγιον ἐξαρμωθῇ, οὕτως αὐτὸν περιποιήσῃ· πτελέας ῥίζαν ς' Γ. ε'. βάλλων εἰς χάλκωμα, ἕψησον ἕως οὗ ἀποτελειωθῇ τὸ ὅπερ ἔβαλες ζέσ. τοῦ ὕδατος, καὶ ἐξ αὐτοῦ τὸν παθόντα τόπον θάλψον, καὶ ἔμπλαστρον ποίησον· μαστίχην καὶ λίβανον ἀῤῥενικόν· ἄνθος περιπλοκάδος· ἐκ πάντων ἀνὰ οὐγγ. α'. καὶ τρυγίαν οἴνου παλαιοῦ κοχλιαρίας γ'. πηγανέλαιον κοχλιαρ. β'. ταῦτα ὁμοῦ μίξας ἔμπλαστρον ποιήσῃς, καὶ εἰς τὸν αὐτὸν τόπον θήσῃς, καὶ διὰ πέντε ἡμερῶν ἀλλάξεις· εἶτα κρέας ζεστὸν τῷ ἱέρακι δώσῃς.

## Εἰς κλάσμα ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ κλασθῇ, οὕτως αὐτὸν περιποιήσῃ, καθὼς καὶ ἀνωτέρω εἰς τὴν ἐξάρμωσιν εἴρηται· καὶ ὅταν ἀναθάλψῃς τὸν τόπον, λάβε μάλιν ἄπλυτον, καὶ βρέξον αὐτὸ εἰς ῥο-

δῖνον ἔλαιον, καὶ εἰς τοὺς κλασθέντας τόπους θὲς, καὶ δῆσον μετὰ λίνου πανίου, καὶ εἰς σκοτεινὸν τόπον θές· καθημέραν δὲ ζεστὴν τροφὴν λαμβανέτω· οἱ δὲ ζεστὸν ἀξούγγιον εἰς τοὺς κλασθέντας τόπους ἐπιδέσμουσιν· οἱ δὲ κόπρον τραγείαν ἐπιτιθέασιν· ἄλλοι δὲ ἐκ σάπωνος.

### Εἰς κλάσμα σκέλους.

ΣΑπῶνιν, βολβοὺς, κοχλίας, ὁμοῦ τρίψας καὶ κοπανίσας ἁπλώσωσον ἐπάνω λίνου πανίου, καὶ ἐπίθες ἐπάνω τοῦ κλάσματος, καὶ ἰᾶται· τινὲς δὲ καταντλοῦσι τοὺς πόδας, καὶ ἀξούγγιν χοίρειον ὑπαλείφουσιν, καὶ εἰς τόπον σκοτεινὸν ἐγκαθίζουσιν. οἱ δὲ ἐργαλικὸν μετὰ ἀψίνθης παλαιᾶς κοπανίσαντες, τῷ τόπῳ ἐπιτιθέασιν.

### Ἄλλο.

Κηρέον πράσον καὶ μετὰ μύρου καλῶς κεκοπανισμένον, καὶ κοχλίας, καὶ τὸ λευκὸν τοῦ ὠοῦ ὁμοῦ μίξας καὶ κοπανίσας εἰς τὸ κλάσμα ἐπίθες, καὶ ἰαθήσεται.

### Πρὸς ἱέρακα ἀθετοῦντα τὸ κυνήγιον.

ΠΟιήσας αὐτὸν σιγαθῆναι ἡμέρας ρ΄. εἶτα ἔμπλησον αὐτὸν ἡμέρας δ΄. καὶ τὴν πέμπτην λαβὼν σκυλόπουλον μικρὸν, δὸς αὐτῷ, ἵνα

σφάξῃ αὐτό· καὶ τὸν τούτου μυελὸν παράβαλε· καὶ τῇ ἄλλῃ ἡμέρᾳ εἰς κυνήγιον ἔμβαλε, καὶ ὅταν κυνηγήσῃ, ἐξ αὐτοῦ αὐτὸν κορέννυε.

Ἄλλο.

Ἀσάρου κέρ. γ΄. εἰς ὕδωρ κοχλ. β΄. βάλλων, δὸς μετὰ κρέατος φαγεῖν· τοῦτο ποιήσεις τρεῖς ἡμέρας· τινὲς δὲ ἀπὸ τῆς ῥίζης τῆς μανδραγόρας ὑποκαπνίζουσιν· ἀλλὰ καὶ αὐτὸ τὸ κρέας ὃ ἐσθίει, ὑποθυμιῶσιν.

Εἰς τὸν παθόντα εἰς ὀφθαλμόν.

ΕΑΝ ὁ ἱέραξ ἀπ' ὀφθαλμοῦ πάσχῃ, λάβε βοτάνην τὴν λεγομένην σαυτείαν, καὶ ὀποβάλσαμον κάπνισον· καὶ τὸ κακὸν ἀπολεῖς.

Εἰς ἀποβολὴν ὄνυχος.

ΕΑΝ τοῦ ἱέρακος ὁ ὄνυξ ἐκριζωθῇ, εἰ μὲν εὕρῃς αὐτὸν, τὸν ἐκριζωθέντα· εἰ δὲ μή, ἄλλον ὄνυχα μαλακὸν ἱέρακος λαβὼν τοῦ αὐτοῦ δακτύλου, οἷός ἐστιν ὁ παθών, κἄν τε ὁ μέσος, κἄν τε ὁ ἀντιδάκτυλος· οὕτως περιποίησον· αἷμα περιστεροπούλου, ἢ ἀπόξυσμα κολλικίου, ὅσον τρισὶ δακτύλοις λάβῃς, καῦσον ἕως οὗ γένηται κονιορτός· εἶτα μαστίχην λαβὼν κόκκοις γ΄. μύρρα, λίβανον, ἀρσενικόν· ὁμοῦ ταῦτα τρί-

ψας, ἐπίχυσον ἐπὶ τὸν ὄνυχα μετὰ τοῦ αἵματος τῆς περιστερᾶς ζεστοῦ ὄντος· καὶ ἀναγέμισον τὸν αὐτὸν ὄνυχα μετὰ τοῦ αἵματος, καὶ ἔμπηξον εἰς τὸν τόπον, ἐξ οὗ ἐξέβη, καὶ ἀποσφάλισον, καὶ ποίησον ἀπὸ δέρματος ἄσπρου θήκην κατὰ τὸ μέγεθος τοῦ δακτύλου, καὶ δέσμωσον καλῶς, καὶ εἰς τὴν μοῦταν ἀπόλυσον, ἕως δεκατέσσαρας ἡμέρας. τρέφου αὐτὸν κρέασι ζεστοῖς, καὶ μετὰ ταῦτα εἰς τὸ κυνήγιον ἐξάξεις.

Ἄλλο.

Ἐὰν ὁ ἱέραξ ἐκριζώσῃ τὸν ὄνυχα. εὐθὺς μετὰ δαλὸς τὸν τόπον καῦσον, καὶ τὸ αἷμα σταθήσεται.

Ἄλλο.

Λάβε ἀπὸ καυστηλείου λύχνου βράζοντος τὰ ὑποκάτω τοῦ τραχήλου τῆς λυχνίας, καὶ συχνῶς τὸν τόπον ἄλειφε, καὶ ταχέως ἀναφυήσεται· θεράπευε δὲ οὕτως· ἀψίνθιν ἄγριον μετὰ ἀξουγγίου χοιρείου τρίψας, καὶ ποιήσας σάκκουλον δέρματος ἁπαλοῦ, τὰ ἐπιγεγραμμένα μαλάγματα ἀναγεμίσεις, καὶ ἐπενδύσεις εἰς ἕκαστον δάκτυλον, ὅθεν ὄνυξ ἐξερριζώθη, καὶ δήσεις, καὶ διὰ τριῶν ἡμερῶν αὐτὸ ἀλλάξεις, καὶ ἰαθήσεται.

Ἄλλο.

Ὀστέα φοινίκων μετὰ σταφίδος καὶ μέλιτος τρίψας, καὶ εἰς πανίον λινοῦν ἁπλώσας, τὸν τόπον περίδησον, καὶ εὐθέως ὁ ὄνυξ ἐκφυήσεται.

Ἄλλο.

Λίβανον ἀρσενικὸν, εἰς ὕδωρ ἀπόβρεξον ψυχρὸν, καὶ ἐξ αὐτοῦ τοῦ ὕδατος τὸν τόπον καταντλεῖ καθ' ὥραν, καὶ ἰαθήσεται.

Ἄλλο.

Βούτυρον μετὰ ἀποξύσματος δέρματος εἰργασμένου ἐπιβάλλεις εἰς δάκτυλον, ὅθεν ὁ ὄνυξ ἐκριζωθῇ, καὶ θεραπεύεται.

Εἰς ζύμον ἱέρακος.

Εἰ ζύμον ὁ ἱέραξ ἔχῃ, οὕτως νοήσεις· ὅταν ἔχῃ τὰ πτερὰ, ὡς ἂν στρουθοκάμηλον, καὶ πετάσαι οὐ δύναται, γνῶθι ὅτι ἐπιθυμεῖ τινος· οὕτως οὖν αὐτὸν περιποίησον· κέρ. γ΄. μύρα, λίβανον ἀρσενικὸν κέρ. γ΄. μαστίχην κόκκ. γ΄. σανδαράχην κέρ. γ΄. φολβίου κέρ. ε΄. κόστου κέρ. β΄. ἀγριοσταφίδος κέρ. ε΄. κύμινον ἀλεξανδρινὸν κέρ. ε΄. ἀριστολοχίας στρογγύλης φυσικῆς κέρ. γ΄. μέ-

λιτος οὐγγ. α΄. ἀργαλικοῦ κερ. γ΄. κρόκου κερ. α΄. ἀλόην ἡπατικὴν κερ. γ΄. στάχυος ἰνδικὸν κερ. γ΄. στάχυν ναρδικὸν κερ. γ΄. πεπέρεως οὐγγ. ϛ΄΄. οἴνου καλοῦ ξέστας β΄. ὁμοῦ πάντα μίξας, καὶ κοπανίσας, μετὰ τοῦ αὐτοῦ οἴνου τρίψας ἀπ' αὐτῶν μετὰ κρέατος τραγείου θρέψας ἡμέρας δέκα· εἶτα δι' ἄλλων δέκα ἡμερῶν δώσεις κρέας κελαρείου· εἶτα ἄλλας δέκα μετὰ περιστεροπούλου, καὶ ὀρνιθοπούλου. ταῦτα δὲ μετὰ ἰατρείας ἀλείψας, καὶ μετὰ ι΄ ἡμέρας βάλλων εἰς ὕδωρ λοῦσον αὐτόν· πλὴν ἐν αὐτῷ τῷ ὕδατι περιεψήσεις ῥιζάελα· οἴνου λίτρας ε΄. καὶ σινοπίδιν οὐγγ. γ΄. ὕδωρ ἢ τέταρτον ἢ τρίτον ὁμοῦ. ταῦτα ἑψήσεις, καὶ εἰς λεκάνην βαλεῖς· καὶ ὅταν γένηται χλιαρόν, ὅσον τοῦ ἡ χεὶρ δέχεται, τὸν ἱέρακα θάλψας εἰς τὸν ἥλιον· ἐν λανάτῳ θήσεις αὐτὸν τρεῖς ἡμέρας· ἐκ τοῦ αὐτοῦ ὕδατος θάλψας· εἰ δὲ ἐλαττωθῇ, οἴνου ἄσπρου ξέστιον ἐπίβαλε. θρέψον δὲ αὐτὸν εὐθύς· πλὴν χοιρείου μὴ δώσεις αὐτῷ, ἕως οὗ στερεωθῇ.

## Εἰς τραῦμα ἱέρακος.

Βοτάνην ἀργεμονίαν τρίψας μετ' ὄξους, ἐξ αὐτοῦ τὴν κεφαλὴν ἀπάλειψον τοῦ ἱέρακος· ἀλλὰ πρότερον μαδίσεις αὐτήν, καὶ τὴν φλυκτίδα ἀποσπάσεις, καὶ οὕτως ἀλείψας· ἄλλοι δὲ τρυγίαν ἐλαίου ἑψήσαντες, οὕτως αὐτοῦ τὴν κεφαλὴν ἀλείφουσι ψυχράναντες.

## Εἰς ὀμίχλην ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ πάθῃ, οἶνον θερμάνας, ὅσον τὸ στόμα σου δύναται, τὸ πρόσωπον τοῦ ἱέρακος φύσησον τρεῖς ἡμέρας, καὶ τὴν ὀμίχλην ἀποβάλλει.

## Εἰς τὸ μουτῶσαι ἱέρακα.

ΠΡΙΝ αὐτὸν εἰς μοῦταν βάλλῃς, τὴν κεφαλὴν αὐτοῦ ἐκπίναξον, καὶ μετ' ὕδατος λουπιναρίου ἀπόπλυνε, καὶ οὕτως εἰσάγαγε εἰς τὴν μοῦταν, καὶ βάλλε ἄμμον εἰς τὴν μοῦταν, καὶ κιατήριον, ἵνα τρίβῃ τὴν μοῦταν καὶ τράπεζαν στρογγύλην· κατὰ δὲ δέκα ἡμέρας, δίδου περιστερόπουλον· ἐὰν δὲ βραδύνῃ εἰς τὸ μουτεῦσαι, δέρμα ὄφεως βί-

ψας, καὶ εἰς κρέας ἐμβαλών, θρέψον, ἢ γάλα, ἀπὸ τοῦ φαγεῖν. τῷ δὲ αὐγούστῳ μηνὶ καθ' ἡμέραν ὕδωρ θήσεις· περὶ δὲ δέκα ἡμερῶν τοῦ ἐμβαλεῖν αὐτόν, εἰσέρχου πλησίον αὐτοῦ, μὴ ἀπὸ τῆς μούτας αὐτὸν ἐκβάλλῃς ἐξαίφνης, καὶ ἀποπηδῶν ψοφήσει.

## Εἰς τὸ ποικίλως μουτεῦσαι τὸν ἱέρακα.

Χλωροσαύρας ζώσας, ἤτοι *μύστρους, ἢ σαβάθιν, ἢ ποντικούς, ἢ πελαργόν, ἢ τρυγόνα δώσεις αὐτῷ διὰ τελῶν ἡμερῶν· εἰ δὲ *συκαχαθῇ τὰς χλωροσαύρας εἰς τὸν ἥλιον αὐτὰς ξήρανον, καὶ τρίψας εἰς κρέας χοίρειον δὸς τῷ ἱέρακι φαγεῖν· εἰ δὲ ὁ ἱέραξ μουτεύσῃ, ὕδωρ θαλάσσιον θέρμανον, καὶ ἐξ αὐτοῦ τὰ πτερὰ αὐτοῦ θάλψον τρεῖς ἡμέρας, ἢ μετὰ ὄξους δριμυτάτου θέρμανον.

## Ἐὰν πληγωθῇ ἀπὸ γεράνου ὁ ἱέραξ.

ΕΑΝ ὁ ἱέραξ ἀπὸ γεράνου, ἢ ἑτέρου ὀρνέου κακῶς πληγωθῇ, οὕτως αὐτὸν περιποίησον. ὀστᾶ φοινίκων οὐγγ. έ. ἀπολεπλύσματος σιδήρου τὰ ἀποπίπτοντα τοῦ ἄμμωνος οὐγγ. γ'. ὁμοῦ

μίξας καὶ λειώσας σύῤῥαπτε τῷ πληγωθέντι τόπῳ, καὶ ἐν τοῦ τοιούτου κονιορτοῦ ἐπίπασσε· ἀποπλύνε δὲ πρότερον τὸν τόπον μετὰ οἴνου θερμοῦ, καὶ κατὰ τὴν τροφὴν αὐτῷ δίδου.

Ἄλλο.

Ἀξούγγιν χοίρειον καὶ στακτὴν κληματίδων μίξον, καὶ συῤῥάψας μετὰ βελόνης, ἐν τούτου ὑπάλειφε· σκόπει δὲ, ἵνα μὴ συῤῥάπτων τὴν ἔνδοθεν κρεῶν περισσάψας.

Ἐὰν ἔχῃ χάσμα εἰς τὰ ἐντός.

ΟΤΑΝ τὸν ἱέρακα αἴρῃς, * καὶ πτέρῃ, καὶ τὸ στόμα ἀνοίγῃ· γνῶθι ὅτι χάσμα ἔχει εἰς τὰ ἐντὸς αὐτοῦ, καὶ οὕτως περιποιήσας καταστακτὴν ἐκ κληματίδων· δὸς αὐτῷ ἵνα πίῃ, καὶ ἰαθήσεται· καὶ κρέας ζεστὸν, ἢ καὶ μῆλι μετὰ βουτύρου μεμιγμένον δὸς φαγεῖν, ἐμβάψας κρέας. σανδαράχην μετὰ κρέατος δίδου φαγεῖν, καὶ ἰαθήσεται.

Εἰς πόνον τῶν ψυῶν ἱέρακος.

ΟΤΑΝ ἴδῃς τὸν ἱέρακα τῇ χειρὶ κατὰ τὴν ὁδὸν, ἢ ἐν τῇ ἄγρᾳ, ὡς νυστάζοντα, καὶ τὴν

οὐρὰν συχνῶς κάμπτοντα, δεῖ σε γινώσκειν, ὅτι τὰς ψύας αὐτοῦ πονεῖ, καὶ στρόφον ἔχει· οὕτως αὐτὸν περιποίησαι· βάλλων εἰς ὕδωρ ῥίζας ἀσπαράγου οὐγγ. α΄. πόκον τὸν ὑποκάτω τῆς γῆς γινόμενον οὐγγ. β΄. βοτάνην τὴν λεγομένην φυσσάλ. οὐγγ. γ΄. ἕψησον εἰς κούκουμιν ὀστράκιον, ἕως οὗ ἀποτελειωθῇ, καὶ ἐξ αὐτοῦ τοῦ ζωμοῦ τὰς ψύας αὐτοῦ θάλψας δι᾽ ἑπτὰ ἡμερῶν· πρὸς δὲ τὸν στρόφον οὕτως ποίησον· σκωλήκια τῆς γῆς ἑψήσας κέρ. α΄. λασάρου κέρ. α΄. τὸ λευκὸν τοῦ ὠοῦ ὁμοῦ μίξας, ἐξ αὐτοῦ δώσεις φαγεῖν μετὰ κρέατος ἐν ταῖς αὐταῖς ἡμέραις ὅταν αὐτὸν θάλψῃς.

Ἄλλο.

Τίλλεω καὶ ἀλέμου σπέρμα, καὶ θρίπον ψιχτὸν καὶ δαφνέλαιον, καὶ ἔλαιον ξένου μετὰ ὕδατος ἑψήσας τὸν ἱέρακα θάλψον. τὰ ἔλαια περιδίως ἕψησον, καὶ οὕτως μίξον· οἶνον θερμάνας μετὰ σπόγγου, πυρίαζε τὸν ἱέρακα, καὶ ὑγιὴς ἔσται.

Ἄλλο.

Γάρον τρίψον ξηρὰν εἰς ποτὸν τῷ ἱέρακι.

## Εἰς καυκοῦλον.

Ὁ ἱέραξ καυκοῦλον ἐὰν ἔχῃ, εἰς τοὺς πόδας αὐτοῦ ποίησον κωδωνίσκην μικρὰν, καθὼς ὁ καυκοῦλος, καὶ πύρωσον αὐτὸν ἰσχυρῶς, καὶ ἐπιθήσεις τὸν καυκοῦλον ἀκριβῶς, ἵνα μὴ εἰς ἄλλην σάρκα ἐγγίσῃ, ἕως οὗ κατέλθῃ εἰς τὴν ῥίζαν, καὶ εὐθέως σαπώνιν γαλικόν· δαφνέλαιον, κόπρον περιστερᾶς εἰς χύτραν καινὴν θερμάνας καλῶς, ἄλειφε τοὺς πόδας αὐτοῦ συχνῶς, καὶ τὸ κοντάριον ἐν ᾧ ἵσταται, καὶ ἰαθήσεται.

## Ἄλλο.

Κόψον αὐτοὺς, καὶ καρβώνιν τρίψας μετὰ ἐλαίου ἰασπανικοῦ τῇ πληγῇ ἐπίθες, καὶ ἰαθήσεται.

## Εἰς καυκούλους καὶ σύριγγας.

Κόπρον χοίρου ψυκτήν· εἰ δὲ μὴ ψυκτή ἐστιν, εἰς φοῦρνον ψύξον, καὶ μίξον ὕδατι γλυκεῖ, καὶ εἰς τοὺς τόπους μετὰ δέρματος ἐπίθες, καὶ εὐθέως σκορπίζονται· τοῦτο γὰρ εἰς ἄνθρωπον ποίησον, γὰρ ὠφελεῖται.

Ἄλλο.

Σαπῶνιν γαλικὸν, καὶ οἶνον, καὶ τάφιν τρίψας μετὰ μυοχόνδου, καὶ ἰὸν χαλκοῦ· καὶ εἰς ἀλούτηρον ἐπίθες· καὶ εἰς τὸν ἱέρακα δῆσον.

Εἰς πλησμονὴν τῶν καυκούλων.

ΛΑβε κόπρον ὄρνιθος τὴν οὖσαν ὁμοίαν μέλιτι· καὶ τοὺς πόδας ἄλειψον τοῦ ἱέρακος.

Εἰς φυσαλίδας.

ΕΑΝ ὁ ἱέραξ φυσαλίδας ἔχῃ, οὕτως αὐτὸν περιποιήσῃ· ἔλαιον ῥόδινον καὶ μέλι, καὶ ἄσβεστον μετὰ φακῆς μίξας θέρμανον, καὶ εἰς κρέας δὸς φαγεῖν τῷ ἱέρακι.

Εἰς τερτερελάζοντα.

Ὁ Ἱέραξ ὅταν ἄρξηται τερτερελάζεσθαι, οὕτως αὐτὸν περιποιήσῃ· ῥόδον, κρόκον, μέλι, γάλα γυναικὸς πρωτοτόκου παιδίου ἐν δεξιοῦ μαζοῦ· ταῦτα ὁμοῦ τρίψας, μετὰ πτεροῦ εἰς τὸ στόμα τοῦ ἱέρακος ἔμβαλε, καὶ ἰαθήσεται.

Εἰς

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Εἰς συγχαινόμενον ἱέρακα.

ΕΑΝ ὁ ἱέραξ συγχαθῇ, καὶ τὸ κυνήγιον ἀποστρέφηται· οὕτως περιποιήσῃ· ἔλαιον ἰασμινικὸν, μέλι, βούτυρον· οἶνον καλὸν, ἀνὰ γράμμ. ἑνὸς, μετὰ κρόκου ὠοῦ συμμίξας, μετὰ κρέατος ζεστοῦ αὐτῷ δώσεις· καὶ ὅταν τοῦτο ἀφοδεύσῃ. ἀπὸ κρέατος χοιρείου, ἢ ὀρνιθίου θρέψας, καὶ ἰαθήσεται.

Ἄλλο.

Βούτυρον καὶ μαστίχης κονιορτὸν ποιήσας, καὶ αἷμα περιστερᾶς μίξας, καὶ εἰς αὐτὸ κρέας τράγου ἐμβάψας, διὰ τελῶν ἡμερῶν τῷ ἱέρακι δὸς, καὶ ἰαθήσεται.

Ἄλλο.

Καῦζον μετὰ ὑδρομέλιτος συμπεπλεγμένον εἰς ποτὸν τῷ ἱέρακι δὸς, καὶ τὴν συγχασίαν ἐπαίρει.

Ἄλλο.

Ἀφόδευμα τρωγλίτου, ἢ καὶ κρέας τοῦ αὐτοῦ εἰς οἶνον, ἢ εἰς μέλι βαλέτω, ἢ μέλι μετὰ ὄξους μεμιγμένον, τὴν σάρκα αὐτοῦ ἀλείψας, ἢ σελίνου σπέρμα, ζίγγιβερ ἴσω σταθμῷ τρίψας μετὰ μέλιτος ἢ οἴνου δὸς, καὶ ἰαθήσεται.

## Εἰς δίψαν ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ συχνῶς διψᾷ, ζοφίω αὐτῷ ψυχρὰν δώσεις μετὰ μέλιτος τῇ πρώτῃ ἡμέρᾳ, τῇ δευτέρᾳ ἔλαιον ἰσπανικὸν, καὶ τῇ τρίτῃ, καὶ ἰαθήσεται.

## Εἰς ἀτονίαν ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ ἀτονήσῃ, οὕτως αὐτὸν περιποιήσῃ. κρόκου οὐγγ. ϛ''. ῥόδα ξηρὰ οὐγγ. ϛ''. μετὰ αἵματος λαγωοῦ βρασοῦ τρίψας, εἰς κρέας χοίρειον ψυχρὸν αὐτῷ δὸς φαγεῖν· καὶ ὑγιανεῖ.

## Ἄλλο.

Κρόκου γράμμ. α'. οἶνον παλαιὸν, μετὰ ταῦτα τρίψας, πότισον τὸν ἱέρακα, καὶ ἀπὸ κρέατος ζάγου τοῦτον θρέψον, καὶ ἰαθήσεται.

## Εἰς νεῦρα κοιλωθέντα.

ΕΑΝ ὁ ἱέραξ τὰ νεῦρα ἔχῃ κεκοιλωμένα, οὕτως αὐτοῦ νοήσεις· ὅταν αὐτὸν εἰς τὴν ἄγραν πέμψῃς, καὶ μὴ ἀγρεύσῃ, ἀλλ' ἀπὸ τῆς ἄγρας τὸ πρόσωπον αὐτοῦ ἀποστρέψῃ· γνῶθι ὅτι

τὰ νεῦρα βεβλαμμένα ἔχῃ· τοῦτο δὲ γίνεται, ἢ ὅταν εἰς δένδρον ἐντυλιχθῇ, ἢ εἰς πέτραν λάβῃ τὰ γόνατα, ἢ εἰς τοὺς ὤμους πρισμονήν· τοῦτον οὕτως περιποίησον· ἀξούγγιν ἄρκου, μυελὸν ἐλάφου, καὶ κηρελίον, καὶ καστορέου ἀνὰ οὐγγ. ς″. ταῦτα εἰς καινὴν χύτραν βάλλων, κοχλίας γερμανοὺς, ἔλαιον ἀφελκὸν οὐγγ. α΄ς″. ταῦτα πάντα ἀναλύσας μετὰ ἀπόστου καὶ οἴνου δ᾽ ἐξ αὐτοῦ τὰ γόνατα, καὶ τοὺς ἀστραγάλους ὑπάλειφε, καὶ θεραπεύσεις.

## Ἄλλο.

Ἀξούγγιν χοίρειον, καὶ ἀξούγγιν περιστεροπούλου, καὶ ζωμὸν μαλάχης, καὶ σεύτλου εἰς χύτραν καινὴν ἀνάλυσον, καὶ τὰ γόνατα, καὶ τοὺς ἀστραγάλους μετὰ ἀπόστου διάχριε.

## Ἄλλο.

Ἀξούγγιν ὀρνιθίου, καὶ ἔλαιον ῥόδινον, καὶ κηροκίαστρον μετὰ μαστίχης ἴσῳ μέτρῳ εἰς χύτραν καινὴν ἑψήσεις, καὶ τοὺς πονοῦντας τόπους ἀλείψας, καὶ ἰαθήσεται.

## Εἰς ὑελοπὴν ὀφθαλμοῦ.

ΕΑΝ ὁ ἱέραξ ὑελοπίσῃ τοὺς ὀφθαλμοὺς, οὕτως αὐτὸν νοήσεις· πρισμονὴ γίνεται εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἰς τὰς ῥῖνας αὐτοῦ, ὡς λεπτόκαρον. οὕτως οὖν αὐτὸν περιποίησον· ἧλον κυπαρίσσινον λεπτὸν ποιήσας, καὶ πυρώσας, εἰς τὴν αὐτοῦ ῥῖνα ἔμβαλε αὐτὸν ἐν τῷ τρίπου, ὅπου τὴν ὑελοπὴν ἴδῃς· εἶτα τὸν τόπον ἐμπάσεις, καὶ μέλι ὀλίγον ἐπιβαλεῖς.

## Εἰς τοὺς βορδονιάσαντας.

ΛΑγωὸν ζῶντα πιάσεις, καὶ τὸν ἱέρακα εἰς αὐτὸν ἐπιχείσεις.

## Εἰς τὸ ῥῖγος τῶν ἱεράκων.

ΕΑΝ ὁ ἱέραξ ἔχῃ ῥῖγος, οὕτως αὐτὸν περιποίησον. πεπέρεως κοκκ. γ΄. ἀγριοσταφυλῆς κόκκους γ΄. τρίψας ὁμοῦ, ἐξ ἐκείνου τὸν οὐρανίσκον αὐτοῦ ἄλειψον, καὶ εἰς τὸν ἥλιον θὲς, καὶ μετὰ ταῦτα θρέψον, καὶ διὰ τριῶν ἡμερῶν τοῦτο ποίησον, καὶ ἰαθήσεται.

Ἄλλο.

Ζωμὸν κυνοχέσου, πεπέρεως κονιορτὸν, σπέρμα σελίνου λαβὼν, καὶ μέλι τὸ ἥμισυ τοῦ ζωμοῦ τοῦ κυνοχέσου, ἐν αὐτῷ τὸ κρέας τοῦ ἱέρακος ἔμβαψον, καὶ πάσας τὰς αἰτίας τὰς ἐντὸς αὐτοῦ καθαίρει· ἢ σκόροδον μετὰ πεπέρεως εἰς τὴν τροφὴν αὐτοῦ δὸς τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Ἄλλο.

Σπέρμα ῥαφανίου, πήγανον ἄγριον, πέπερι, κύμινον, μίξας καὶ τρίψας, εἰς τροφὴν τῷ ἱέρακι δός. ἢ περιστερὰν ἀνασχίσας, τὰ ἐντόσθια βράζοντα δὸς φαγεῖν τῷ ἱέρακι.

Εἰς τοὺς βραδὺ ἀφοδεύοντας ἱέρακας.

ΕΑΝ ὁ ἱέραξ βραδὺ ἀφοδεύῃ, γνῶθι ὅτι ἀπεψίαν ἔχει· οὕτως οὖν αὐτὸν περιποίησον· κατασταλακτὴν ἀπὸ κληματίδων γινομένην ἐκ τοῦ στόματός σου εἰς τὸ στόμα αὐτοῦ ἐπιδώσεις, ὅσον δύναται δέξασθαι, καὶ ὅταν ἀφοδεύσῃ, ἔπαρον κρόκον ὠοῦ ὠμοῦ μετὰ μέλιτος, καὶ κρέας ἐξ αὐτῶν ἀλείψας, δὸς τῷ ἱέρακι φαγεῖν.

### Εἰς πρισμονὴν ποδῶν.

ΕΑΝ ὁ ἱέραξ εἰς τοὺς πόδας πρισμονὴν ἔχῃ, οὕτως αὐτὸν περιποίησον· ἄλας μετὰ κοχλίου κοπανίσας, τοὺς πόδας τρῖψον, καὶ ἰαθήσεται.

### Ἄλλο.

Εἰς τὸν τόπον, εἰς ὃν πρισμονὴν ἔχει, βδέλλας ἐπίθες πρὸς ὀλίγον, καὶ μετὰ ταῦτα κόριδας συντρίψας, μετὰ ξυλαρίου τῷ τόπῳ προσέγγισον, καὶ εὐθέως τὶ βδέλλα ἀφήσειν. οἶνον δὲ παλαιὸν θερμάνας, ἐξ αὐτοῦ τὸν τόπον χρίε.

### Ἄλλο.

Κόπρον τράγου τρίψας, ἐξ αὐτοῦ τοὺς πόδας ἐπάλειφε, καὶ ἔα ψυχθῆναι.

### Εἰς σκωλήκια τῶν πτερῶν.

ΕΑΝ ὁ ἱέραξ σκωλήκια ποιήσῃ ἐν τοῖς πτεροῖς, οὕτως αὐτὸν περιποίησον· λάβον κάλαμον, καὶ τὴν ἀράχνην ὡς ἔχεις εὑρεῖν ἔσωθεν, μετὰ ὄξους δριμυτάτου τρῖψον, καὶ εἰς τόπον ἔμβαλε, ὅθεν τὰ πτερὰ πίπτουσι, καὶ ἰαθήσεται.

### Ἄλλο.

Λαβὼν αἷμα λαγωοῦ μετὰ οἴνου παλαιοῦ,

ἰσόσταθμα, καὶ τὸν αὐτὸν τόπον ἐπίβρεξον, καὶ μέλι ἐπάλειψον, πρὸς τὸν ἥλιον στῆσον, καὶ ἰαθήσεται.

Εἰς πόνον μαγούλου τοῦ ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ τὸ μάγουλον αὐτοῦ πονέσῃ, ἤ τί ποτε τὴν ἔσωθεν κύκλωθεν, οὕτως αὐτὸν γνώσῃ· ἐκ τῆς χειρὸς ἑαυτὸν ἀπορρίπτει, καὶ οὔτε εἰς κοντάριον καθέζεται, ἀλλὰ καὶ τὰ πτερὰ τῆς οὐρᾶς αὐτοῦ ἀραιοῦνται, καὶ σάλον μετὰ αἵματος ἀποπτύει, καὶ πτέρει. οὕτως οὖν αὐτὸν περιποιήσῃ· οἶνον παλαιὸν νῆστιν δὸς πιεῖν, καὶ ἀπὸ σκυλοπούλου μικροῦ ἢ ἀπὸ γουρουνίου, διὰ τριῶν ἡμερῶν αὐτὸν θρέψας· ὕστερον δὲ βούτυρον δώσεις, καὶ ἰαθήσεται.

Ἄλλο.

Αργαλικοῦ ῥίζαν, ἤγουν ὑοσκυάμου κεκοπανισμένην μετὰ κρέατος δώσεις τούτῳ φαγεῖν.

Εἰς ὀλίγωσιν.

ΜΥελὸν κριαρίου ζεστὸν αὐτῷ δώσεις φαγεῖν, καὶ ἰσχύσει.

Εἰς τζύμπλαν.

ΜΕΤΑ ἥλου κυπαρισσίνου λεπτοῦ πεπυρακτωμένου τὰς ῥῖνας αὐτοῦ διατρυπή-

σας· ἢ γάλα ἀγριοσυκῆς ὑποκάτω τῆς γλώσσης αὐτοῦ ἔγχεε.

### Εἰς κοίλωσιν τῶν μασχάλων.

ΣΥνεχῶς αὐτοῦ τὴν μασχάλην μετὰ ὕδατος ψυχροῦ ἐπάντλει, καὶ ἰαθήσεται.

### Πρὸς τὸν εἰς ἄγραν ὑπάγοντα καὶ ὑποστρέφοντα.

ΠΟίησον κόντινον, καὶ δὸς αὐτῷ ποτόν· οὕτως ᾠῶν ὀρτύγων, πεπέρεως κόκκοις γ΄, οἶνον παλαιόν, μέλι, κύμινον, καὶ ὠοῦ τὸ λευκόν· τοῦτο ἅπαξ τῆς ἡμέρας δὸς φαγεῖν, καὶ ἰαθήσεται.

### Εἰς τὸν ἰξωθέντα ἱέρακα.

ΑΠΟ ἐλαίου τὸν τόπον, ὅπου ὁ ἱέραξ ἐκολλήθη, πλῦνον, καὶ μετὰ πανίου λινοῦ ἀποσπόγγισον καὶ γάλακτι αἰγὸς ἀπόπλυνον, καὶ θαυμασίως καθαρεῖς.

### Εἰς τὸν ἀπὸ κυνηγίου ἀρρωστήσαντα ἱέρακα.

ΥΔΩΡ ζεστὸν ὅσον τοῦ ἡ χεὶρ βαστάζει, ἐπάνω τῶν μεταφρένων αὐτοῦ ὑπόβαλε· ἵνα

δὲ ἡ

δὲ ἡ χείρ σου τὰ πτερὰ ἐξανοίγῃ, τὰ μέσα τῶν μεταφρενῶν αὐτοῦ πρὸς τοὺς πόδας διέλθῃ· καὶ τοῦτο ὠφελήσεις.

Εἰς ὃν ἀπὸ τῆς μούτας θέλεις ἐκβαλεῖν.

ΠΡΙΝ τῆς αὐγῆς μετ᾽ αὐτοῦ περιπάτει, καὶ πρὶν τὸν ἥλιον ἀνατεῖλαι, πρὸς τὸ κοντάριον ἐπίστρεψον. ἑσπέρας δὲ τὸν λύχνον ὧδε κἀκεῖσε διακίνησον, βαστάζων αὐτὸν ἕως ἡμέρα γένηται.

Εἰς χάσκοντα.

ΕΑΝ ὁ ἱέραξ χάσκων ἵσταται, γνῶθι εἰς τὰ ἐντὸς αὐτοῦ τραύματα ἔχειν· οὕτως οὖν θεραπεύσεις· βουτύρου κοχλ. α΄. μυελὸν ἐλάφου οὐγγ. γ΄. μέλι κοχλ. α΄. σανδαράχην οὐγγ. α΄. ἔλαιον ῥόδινον κοχλ. α΄. οἴνου κοχλιάρια β΄. ὁμοῦ μίξας, ἐξ αὐτοῦ τὸν ἱέρακα θρέψον ἀπὸ κρέατος τραγείου ἡμέρας τρεῖς, καὶ πλείονας.

Εἰς πρισμὸν ἱέρακος.

ΕΑΝ ὁ ἱέραξ πρισμὸν ἔχῃ, τοῦτο ὀφείλεις ποιῆσαι· πεπέρεως κόκκους κα΄. φολβίου

γράμμ. β΄. στάχυος ναρδικοῦ γράμμ. β΄. εὐφορβίου γράμμ. α΄. φύλλα πετροσελίνου μακεδονικοῦ γράμμ. β΄. κόστου γράμμ. δ΄. ταῦτα πάντα τρίψας καὶ μίξας μέλιτι, τὸν οὐρανίσκον αὐτοῦ διάτριβε πρὸς τὸν ἥλιον· καὶ περὶ ὥραν ἀρίστου λαβὼν βουτύρου μέρη τρία, μέλιτος μέρος α΄. βαλσάμου μέρος α΄. ὁμοῦ τρίψας, καὶ μετὰ τοῦ προειρημένου εὐθέντος κονιορτοῦ συμμίξας εἰς ζωφίῳ ζεστὴν δὸς τῷ ἱέρακι, καὶ ἰαθήσεται.

## Εἰς γρυνῷν ἱέρακα.

ΟΤΑΝ ὁ ἱέραξ γρυνῆσαι θελήσῃ, τοῦτο ποίησον. κρόκου μύρα, ὕδωρ βάλλων, καὶ δώσεις ἐξ αὐτοῦ νῆστιν ἵνα πίῃ, καὶ εὐθέως τὸ πάθος ἰᾶται.

## Ὅταν ἀποῤῥίψαι θελήσῃ.

ΚΟρείζιον νεφρικὸν εἰς ἐλέβορον συμμίξας, δὸς αὐτῷ φαγεῖν, καὶ εὐθέως καθαρίζεται.

## Πρὸς τὸν ἐσθίοντα πολλά.

ΕΑΝ ὁ ἱέραξ ἐσθίῃ πολλὰ, καὶ ἀπομακέλλης, ἀποδημήσης τοῦ τοιούτου· μέλιτος κολλυρίδας εἰς τὸ φαγεῖν δὸς, ὀφείλεις δοῦναι καὶ σκα-

λήκιν τὸ ἀπαίδευτον, ὅπερ ἐν τῷ ἐντοσθίων τοῦ
κέρατος ἐκφέρειν ἄφνω, λιπαρὸν δὸς αὐτῷ· εἰ
δὲ θελήσῃ φαγεῖν, ὕπιον αὐτὸν κράτησον, καὶ τὸν
σκώληκα παράβαλε· καὶ ἐὰν ἀφοδεύσῃ, ἰαθήσεται.
καὶ τῇ ἄλλῃ ἡμέρᾳ δὸς αὐτῷ περδίκιν συναρπα-
σθέν· τῇ δὲ τρίτῃ ἡμέρᾳ, βάλε εἰς ὕδωρ ζε-
στὸν, καὶ δὸς αὐτῷ ζωφίου ζάγγον, καὶ ἐν τῇ αὐτῇ
ζωφῇ, αἷμα νυκτερίδος βάλε, καὶ ἰαθήσεται.

## Ἐὰν εἰς ὕδωρ ἐμπέσῃ μετὰ χιονός.

Ἔπαρον ὀστέα φοινίκων, καὶ εἰς ὕδωρ καλῶς
ἀπόβρεξον ἡμέραν μίαν· τῇ δὲ ἑξῆς τρί-
ψον, καὶ βάλε πέπερι λευκὸν, πέπερι μέλαν, ἀ-
γριοσταφίδα, στάχυ ναρδικὸν, στάχυ ἰνδικὸν,
πάντα τῷ ἴσῳ σταθμῷ τετριμμένα· καὶ λαβὼν
βούτυρον, καὶ ἀξούγγιν νήσσειον καὶ χοίρειον, ἴσῳ
σταθμῷ τετριμμένα, ἄλειψον ζυμώσιν μετὰ τῶν
προειρημένων, καὶ δὸς ὀφὰς τῷ ἱέρακι φαγεῖν,
καὶ οὐδὲ ῥῖγος ἐννοήσει.

## Ἄλλο.

Δαφνέλαιον αὐτῷ εἰς ὀφὰς δώσεις, καὶ εὐ-
θέως τὸ ῥῖγος αὐτοῦ ἐξέρχεται.

### Ἐὰν μὴ θέλῃ φαγεῖν.

ΚΟνιορτὸν πίλλεως καὶ λινοσπέρματος βάλε εἰς μοσχαῖον κρέας αἰγὸς νεοσφαγοῦς, καὶ ἀνάγκασον φαγεῖν τὸν ἱέρακα, καὶ ἰαθήσεται.

### Ἐὰν ἀπὸ λαγωοῦ κακωθῇ.

ΠΟίησον αὐτὸν ἡσυχάσαι ἡμέρας ἑπτὰ, καὶ δίδου αὐτῷ φαγεῖν τροφὰς ζεστὰς, ἢ περιστερῶν, ἢ τράγων· καὶ ἰαθήσεται.

### Εἰς τρυσμόν.

ΜΕλίτος κοχλ. α΄, γάλα αἰγὸς, κοχλ. α΄. καὶ τοσοῦτον ἔλαιον ῥόδινον μίξας μετὰ περιστερᾶς, δίδου φαγεῖν.

### Εἰς δυσεντερίαν.

ΣΠέρμα νάρθηκος κοκκία κέ. τετριμμένα εἰς οἶνον βάλε, καὶ εἰς ποτὸν δὸς τῷ ἱέρακι φαγεῖν.

### Ἄλλο.

Ροδάκινον χλωρὸν, ἵνα ἔστιν ἄωρον, καὶ μετὰ ἅλατος ἕψησον, καὶ τῷ ἱέρακι δὸς εἰς τροφήν.

### Εἰς λέπτωσιν.

ΟΤΑΝ ὁ ἱέραξ λεπτὸς γένηται, βούτυρον μετὰ κρέατος αὐτῷ δὸς φαγεῖν, καὶ ἰαθήσεται.

Ἄλλο.

Ἐν ἐλαίῳ ἰσπανικῷ ζεστῷ τὴν ζωφίλην αὐτοῦ ἐμβάψας, καὶ δώσεις φαγεῖν, καὶ ἰαθήσεται.

Εἰ ἀῤῥωστίᾳ ἐλαττωθῇ.

ΟΥτως αὐτὸν νοήσεις. ἐξαρόμενος καθέζεται, καὶ ταῦτα διορθοῖ. θεραπεύσεις δὲ, ἐι κριαρίου μυελὸν νεοστὶ ἐσφαγμένου τῷ ἱέρακι δώσεις εἰς ζωφίλην· καὶ μετὰ ταῦτα περιστερόπουλον ἢ ὀρνιθόπουλον σφάξας, δὸς τὸ αἷμα πιεῖν θερμόν.

Εἰ οὐ θέλῃ κυνηγῆσαι.

ΑΠόκλεισον αὐτὸν ἡμέρας ιέ. εἰς τόπον σκοτεινόν· φωτίαν μὴ ἴδῃ, ἀλλὰ μὴ μόνον εἰς τὸ φαγεῖν· τὴν δὲ ζωφίλην αὐτοῦ ἀποτελέσωσαν, καὶ πρὸς τὴν ἄγραν αὐτὸν ἔμβαλε.

Εἰς ξερατὸν ἱέρακος.

ΟΛίγον πασὸν μετὰ κρέατος τραγείου συμμίξας, δὸς φαγεῖν τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Εἰς ῥευματισμὸν κεφαλῆς.

ΕΑΝ ὁ ἱέραξ τὴν κεφαλὴν ῥευματίσῃ, οὕτως αὐτὸν νοήσεις. οἱ ὀφθαλμοὶ αὐτοῦ δα-

κρύοισι. οὕτως δὲ αὐτὸν περιποιήσῃ· πέπερι λευκὸν κόκκοις λʹ. κοστὸν, φόλβιον, στάχυος ἰνδικοῦ, ἀγριοσταφίδος, κρόκον ἴσῳ σταθμῷ· πάντα ὅσον τὰ λʹ κόκκοις τοῦ πεπέρεως στήσωσιν· καὶ τρίψας, τὸν οὐρανίσκον τρῖψον ἐξ αὐτῶν μετὰ οἴνου καλοῦ· καὶ μετὰ τοῦτο μέλι ἄκαπνον λαβὼν, μετὰ πτεροῦ τὸν οὐρανίσκον ὑπάλειφε, καὶ ἐκ τῆς ἰατρείας πάλιν ἐπίπασον, καὶ εὐθέως τὰς ῥῖνας, ἐντὸς τοῦ στόματός σου βάλλων, πίπισον· ἵνα ἡ ἰατρεία αὕτη ἐν αὐταῖς ἀνέλθῃ· καὶ μετὰ τοῦτο στῆσον αὐτὸν πρὸς τὸν ἥλιον ἕως ὥρας δευτέρας· καὶ ὅταν ἴδῃς, ὅτι ἀφώδευσεν, ἔπαρον αὐτὸν ἐκ τοῦ ἡλίου, καὶ ὀλίγον οἶνον καλὸν ἐκ τοῦ στόματός σου, εἰς τὸ στόμα αὐτοῦ ἔμβαλε· καὶ μετὰ ὥραν δευτέραν κάλεσον αὐτὸν, καὶ δὸς αὐτῷ περιστερόπουλον ζεστὸν, ἢ ποντικὸν, καὶ ἰαθήσεται.

## Ἄλλο.

Ἐὰν ὁ ἱέραξ δίκην φακῆς ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἔχῃ, ἵνα τοὺς ὀφθαλμοὺς ἐσφαλισμένους ἔχων καθέζηται· οὕτως αὐτὸν περιποιήσῃ, γάλα γυναικὸς θηλαζούσης ἀρσενικὸν, τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπίχυσον, καὶ εὐθέως ὑγιαίνῃ.

## Ἄλλο.

Κόστον, φόλβιον, λίβανον ἀρσενικὸν, μαστίχιν, λάσαρον ἰουδαϊκὸν, πέπερι, στάχυν ναρδικὸν, καρυόφυλλον, κρόκον, σανδαράχην, ἀδανά, ἀγριοσταφίδα· ταῦτα πάντα ἴσῳ σταθμῷ τρίψας, καὶ κοσκινίσας, τοῦ ἱέρακος τρίψον τὸν οὐρανίσκον, καὶ ἰαθήσεται.

## Ἐὰν τὰ ἴδια πτερὰ ἐσθίῃ.

ἈΦρόνιζον ζεστὸν, καὶ κόρεις συντρίψας, εἰς κρέας δὸς τῷ ἱέρακι φαγεῖν ἡμέρας τρεῖς.

## Δοκιμασία εἰ ἀσθενὴς ὁ ἱέραξ ζήσεται.

ΚΑθ' ἡμέραν δίδου αὐτῷ βούτυρον, ἔλαιον ἱσπανικὸν, ἢ ῥόδινον μετὰ καρδίας βοός· καὶ ἐὰν ἀφοδεύσῃ, ζήσεται· εἰ δὲ τὸ αὐτὸ ῥίψῃ, καὶ ὀξήσεις εἰς τὴν γοῦλαν αὐτοῦ, περιστερόπουλον τρεῖς ἡμέρας αὐτῷ δὸς· καὶ ἐὰν ἀφοδεύσῃ, ἰαθήσεται.

## Εἰς αἰτίαν τῶν ἐντέρων.

ΒΟύτηρον μετὰ μέλιτος μεμιγμένον εἰς κρέας ἐμβαλὼν, συχνῶς δίδου τῷ ἱέρακι, καὶ ἰαθήσεται.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN